D. Page, ClassRev 73, 1959, 22
A. Palmer v. apud Kenyon
A. C. Pearson, ClassRev 12, 1898, 74–76
A. Platt, The Athenaeum Dec. 25, 1897, 887; idem, ClassRev 12, 1898, 58–64; 133sq.; 211–216
R. Pfeiffer v. apud Snell
V. Pingel v. apud Blass
L. C. Purser v. apud Kenyon,
T. Reinach, Revue des études grecs 1898, 17–30
H. Richards, ClassRev 12, 1898, 76
C. H. Roberts (*per litteras*)
O. Rossbach v. apud Ludwich
J. E. Sandys, ClassRev 12, 1898, 77–78
W. Schadewaldt v. apud Snell
G. H. Schäfer, Meletemata critica in Dion.Halic. artem rhetoricam 137 (in: Dionysii Halic. De comparatione verborum, Leipzig 1808) (*ad fr. 23*)
F. G. Schneidewin, Delectus poesis graecorum III, Göttingen 1839
E. Schwartz, Hermes 39, 1904, 630–642
B. Snell, Bacchylides, Leipzig 1961; idem, Hermes 67, 1932, 1–13; 71, 1936, 124–126; 75, 1940, 177–191; 76, 1941, 208–219; 80, 1952, 156–163 = Pindaros und Bakchylides hrsg. v. W. M. Calder III & J. Stern (Wege der Forschung 134, Darmstadt 1970) 421–431; Gnomon 40, 1968, 122
W. Suess, Bacchylidis carmina cum fragmentis, Leipzig 1912
F. Sylburg, Clementis Alexandrini opera quae extant etc., Heidelberg 1592
A. Taccone, Bacchilide, Torino 1907; ²1923
T. G. Tucker, The Seven against Thebes, Cambridge 1908, ad v. 866sq. = 882 (*ad c. 13,167*)
A. Turnebus, Ἡφαιστίωνος Ἀλεξανδρέως περὶ μέτρων καὶ ποιημάτων, Paris 1553
A. Turyn, Eos 27, 1924, 101–112
R. Y. Tyrrell, ClassRev 12, 1898, 79–83; 412–414
F. Ursinus, Carmina novem illustrium feminarum . . . et lyricorum etc., Antverpiae 1568
A. Vogliano, Papiri d. Società Italiana 10, Firenze 1932
J. Wackernagel, Hermes 40, 1905, 154; v. etiam apud Blass
R. J. Walker, The Athenaeum, Dec. 18, 1897, 856
H. Weil, Journal des Savants 1898, 174–184
M. L. West, ClassRev n.s. 43, 1993, 237 (*ad c. 9,37 et 13,223*)
U. von Wilamowitz-Moellendorff, Bakchylides, Berlin 1898; idem, Gött. GelAnz 160, 1898, 125–160 = Pindaros und Bakchylides hrsg. v. W. M. Calder III & J. Stern (Wege der Forschung 134, Darmstadt 1970) 322–363; idem, GöttNachr 1898, 228–236 = Sappho und Simonides, Berlin 1913, 183–191; idem, Griech. Verskunst, Berlin 1921; idem, Pindaros, Berlin 1922
A. Wolff, Bacchylidea, Padova 1901, 9 (*ad c. 1.128*)

CONSPECTVS SIGLORVM

α̣	littera incerta
[α]	littera in pap. deperdita
˪α˩	littera in pap. deperdita sed alio fonte tradita
<α>	littera addenda
{α}	littera removenda
⟦α⟧	littera in papyro remota
κ̯ρ̯	muta cum liquida positionem non faciens
ρ́, σ̄	littera vel in initio vocabulorum posita positionem faciens

A	scriptor papyri Londin. 733 et PSI 1278
$\mathbf{A}^1$	correctiones ipsius scriptoris
$\mathbf{A}^2$	corrector primus
$\mathbf{A}^3$	corrector alter
$\mathbf{A}^4$	corrector tertius
$\mathbf{A}^1$?	= $\mathbf{A}^1$ potius quam $\mathbf{A}^2$ vel $\mathbf{A}^3$
$\mathbf{A}^3$?	= $\mathbf{A}^3$ potius quam $\mathbf{A}^1$ vel $\mathbf{A}^2$
B	pap. Oxyrh. 2368
C	pap. Oxyrh. 2364
D	pap. Berol. 16139 + 21209
H	pap. Oxyrh. 2366
L	pap. Oxyrh. 2363
M	pap. Oxyrh. 2367
O	pap. Oxyrh. 1091
P	pap. Oxyrh. 1361
Q	pap. Oxyrh. 2362
R	pap. Oxyrh. 2365 et PSI inv. 2011
S	pap. Oxyrh. 2395
T	pap. Oxyrh. 426
U	pap. Oxyrh. 2361

fr. 1 K. etc.: fragmenta papyri a Kenyone nondum suis locis collocata

~	= confer stropham respondentem (aut propter metrum aut propter singulas litteras respondentes)
⊗	aut initium aut finis carminis
|||	finis strophae
||	finis periodi
		finis verbi per totum carmen
⁝	finis verbi paucis locis exceptis

⁝ - : vel : - ⁝ finis verbi nisi priore loco est, secundo invenitur.

Ratio apparatus critici his quattuor exemplis illustratur:

πεδίωι (in textu carminis)

1. ΠΕΔΙΟΝ: $\mathbf{A}^1$ i.e. ΠΕΔΙΟΝ **A**, ΠΕΔΙΩΙ $\mathbf{A}^1$ (recte)
2. ΠΕΔΙΟΝ: Bl. i.e. ΠΕΔΙΟΝ **A**, πεδίωι Blass (recte)
3. ΠΕΔΙΟΝ $\mathbf{A}^1$ i.e. ΠΕΔΙΩΙ **A**, ΠΕΔΙΟΝ $\mathbf{A}^1$ (non recte)
4. πεδίον Bl. i.e. ΠΕΔΙΩΙ **A**, πεδίον coniecit Blass (me quidem non applaudente).

Nomina horum virorum doctorum primis tantum litteris insigniuntur: Bl(ass), Edm(onds), Headl(am), Herw(erden), Housm(an), J(ebb), K(enyon), Schadew(aldt), Schw(artz), Sn(ell), Wackern(agel), Wil(amowitz).

In c. 1—14, 15—21 supplementa nomine non insignita sunt Kenyonis.

[ΒΑΚΧΥΛΙΔΟΥ ΕΠΙΝΙΚΟΙ]

1

[ΑΡΓΕΙΩΙ ΚΕΙΩΙ
ΠΑΙΔΙ ΠΥΚΤΗΙ (?) ΙΣΘΜΙΑ]

metrum: dactyloepitr. (v. p. XXVI) Α′–Η′?

ΣΤΡ d² ⏔ D ⏔ e ‖ ³ D - D - ‖ ⁵ D - e ⏔ e ‖ ⁷ - E E ‖| (139? 171)

ΕΠ D - D - ‖ ³ e - D - D - ⁝ E ⏔ | ⁶ D - E - e - ‖| (113)

Α′
1 ⌊Κλυτοφόρμιγγες Δ̣[ιὸς ὑ-]
col. 1 ψιμέδοντος παρθένοι,⌋
3 –⏑⏑ Πι]ε̣ρίδες
––]ενυφαι[⏑⏑––
5 –⏑⏑]ο̣υς, ἵνα κ[–
––⏑]γαίας Ἰσθμί[ας
7 ––⏑]ν, εὐβούλου ν̣[⏑–
–⏑ γαμ]βρὸν Νηρέ[ος

1 Inscr.: vel ΠΑΓΚΡΑΤΙΑCΤΗΙ (Körte) ?, v. p. XL sq.

1 1 sq. Comment. ad Callim. Αἴτια (fr. 2a Pf. vol. 2 p. 103) παρθένο]ς· θυγάτηρ ὡς [καὶ] Βακχυλίδης [φησί·] κλυτοφ. – παρθένοι ‖ **8** Herennius Philo ap. Eust. Od. 1954, 5 et Ammon. de voc. diff. 333 Nickau Δίδυμος . . . ἐν ὑπομνήματι Βακχυλίδου ἐπινίκων· φησὶ . . .'εἰσὶ τοίνυν οἵ φασι διαφέρειν τὰς Νηρεΐδας τῶν τοῦ Νηρέως θυγατέρων, καὶ τὰς μὲν ἐκ Δωρίδος γνησίας αὐτοῦ θυγατέρας νομίζεσθαι, τὰς δὲ ἐξ ἄλλων ἤδη κοινότερον Νηρεΐδας καλεῖσθαι.

1 1sq. supppl. Lobel, huc traxit Maas ‖ **3—10** fr. 6 K. ‖ **3** Bl. | ἐννέα vel δεῦρ' ἴτε Maas ‖ **5** sq. κ[υδαίνητε J. ‖ **7** ἀρχαγό]ν Maas | Ν[vel Η[, non Π[‖ **8** Bl. | ΡΈ[

⏑⏑–] νάσοιό τ' εὐ–
⏑⏑]αν, ἔνθ̣[–⏑–
–⏑⏑–⏑⏑–
––⏑⏑–⏑⏑––
⌊ὦ Πέλοπος λιπαρᾶς
νάσου θεόδματοι πύλαι⌋
(desunt vv. II)

—

(desunt vv. II)
–⏑– ἔζευξεν ὑφ' ἅρ]μ̣ασιν ἵππου[ς·
οἱ δὲ π]ε̣τ̣οντο . [⏑––
–⏑––]εσσιν ἀν[δρῶν?
–⏑⏑–⏑]τον αὐτ[–]·
–⏑–] ἄλλαισιν [–––⏑––

⟩—

?B ⏑⏑–––]ν̣ δ' ετε[–
⏑⏑–]γονώτ[⏑–
]π̣λ̣[
(desunt vv. V)

—

(desunt vv. III)
col. 2 τοῖον̣ [⏑⏑–⏑⏑–]τ̣ᾶι
καλ[⏑⏑–⏑⏑–
[. .] . [–⏑––]εμεν, ὅταν̣
––⏑––]τει συνευ–
–⏑–––⏑]α̣ς
(desunt alterius epodi vv. VI)

13 sq. Schol. Pind. Ol. 13, 4 (1, 358, 1 Dr.) πρόθυρον καὶ θύρας εἰώθασι καλεῖν τὴν Κόρινθον διὰ τὸ ἀρχὴν ἢ τέλος εἶναι τῆς Πελοποννήσου· Βακχυλίδης· Ὦ Πέλοπος – πύλαι· huc vocavit Bl.

9 ΝΆCΟΙΌΤ'ΕΥ **10**]ĀΝ· (i.e. accus. primae declin.), εὐ[κτι–μέν]αν Maas | Θ[vel Ε[vel C[, ἔνθ[εν μολὼν Bl. ‖ **11** πυγμα–χίας κράτος εἷλ' e.g. Bl. ‖ **19** fr. 24 K. |]Μ,]Ν sim. ‖ **20—26** fr. 15 K. ‖ **20** Ν[, Ι[, Μ[sim., non Δ[‖ **24**]Ι,]Ν sim. ‖ **24** sq. ἕτε[ρον . . . εὐ]γονώτ[ερον Bl. ‖ **25**]Γ potius quam]Τ | ΩΤ[‖ **35** sq. init. fr. 16b K. ‖ **35–39** extr. fr. 28 + 40 + 39 K. ‖ **37**]Π[vel]Γ[| Ν[vel Υ[‖ **38** sq. χή]τει συνεύ[νων Bl.

—⏑———]ε̣ο̣σ̣[——⏑—— ?

Γ

⏑⏑———]ν̣ πυκ[ιν –
⏑⏑——] .γοι κόρ̣[αι
—⏑⏑—]αγορᾱ
——]ο̣ μελίφρονος ὕπ̣[νου
—⏑⏑ ἁμετ]έραν
——⏑ ἀρ]χ̣α̣ίαν πόλιν
——⏑——]γοιμεν οἴ–
κους δ' ἐπ'] ἀ̣νδ̣ήροις ἁλός

ὑπό τ' α]ὐ̣γαῖς ἀελ̣ί̣ο̣υ
]ι̣δ̣[

col. 3 (inc. v. 69) (desunt vv. VI et epod. γ' tota)

Δ

(deest v. I)
] . [
—⏑⏑—]σαγορᾶι
—— Μα]κ̣ελὼ δὲ τ̣[⏑——
—⏑ φιλ]ᾱλάκατος,
——] δ' ἐπ' εὐναῆ [πό]ρ̣ο̣[ν
——]α̣· προσφώνει⌊ι⌋ τέ ν⌊ιν⌋
—⏑—] σαίνουσ' ὀπί·

⏑⏑—— μ]ὲν στέρομαι
⏑⏑ ἀμ]φάκει δύᾱι

76 Apollon. de pronom. 368A p. 84 Schneid. ἔτι καὶ ἡ ΝΙΝ τάσσεται ἐπὶ πλήθους . . . προσφωνεῖτέ νιν ἐπὶ νίκαις (corr. ἐπινίκοις) Βακχυλίδης (fr.8 Bergk).

46—56 fr. 13 K. ‖ **47**]N potius quam]H, vix]M ‖ **48** ἱστουρ]γοὶ Bl.,]PΓ legit Edm., sed potius]ΓΓ fuisse videtur: ἄφθο]γγοι ? | P[, I[‖ **49** PĀ, ~ 72 ‖ **50** Π[incertissimum; cf. fr. 4, 76 ‖ **53** potius]Γ quam]T | ΝΌΙ ‖ **55** fin. et **56** nunc non apparent ‖ **71—83** fr. 5 K. ‖ **71**]Ρ[,]Φ[,]Υ[sim. ‖ **73** ÈΛΩΙ: **A**[1]? ‖ **76** προσφώνει vel -φωνεῖ K. ‖ **78** post N superscr. C **A**[1] ?

–⏑⏑– π]ενίᾱι
––⏑⏑–]΄. γετ[.] πάμπα[ν
–⏑⏑–⏑⏑]α̣ς
––⏑–––]ομοι
(desunt vv. II,
—
col. 4 (inc. v. 104) tum epod. δ′, str. ant. ε′ = vv. XXIII,
(E′) epod. ε′ vv. II)
–⏑] . αφθε̣[. .] . [⏑⏑–⏑⏑–
. . .]ς· τριτάτᾱι μετ̣[⏑––
ἀμ]έρᾱι Μίνως ἀρ̣[ήι]ο̣ς
ἤλ]υθεν αἰολοπρύ̣μ̣νοις
ναυσὶ πεντήκοντα σὺν Κρητῶν ὁμίλωι·
)—
F′ Δ̣ιὸς Εὐκλείου δὲ ἕκα–
τι βαθύζωνον κόραν
Δ̣εξιθέαν δάμασεν·
κα]ί οἱ λίπεν ἥμισυ λ[α]ῶν,
ἄ]νδρας ἀρηϊφίλους,
το]ῖσιν πολύκρημνον χθόνα
γ̣είμας ἀποπλέ̣ω̣ν ὤ[ιχε]τ᾽ ἐς
Κ̣νωσὸν ἱμερτὰν [πο]λ̣ιν
—
β]ασιλεὺς Εὐρωπιά[δας]·
δ̣εκάτωι δ᾽ Εὐξ[άντι]ο̣ν
μηνὶ τέ]κ᾽ εὐπλόκ[αμος
νύμφα φερ]εκυδέϊ [νάσωι
–⏑⏑–] πρύτα[νιν

81 φε]ύγετε Bl., sed]ΓΓ pot.quam]ΥΓ vid. ‖ **111—129** fr. 1[a] +1[b] K. ‖ **111**]Ι,]Ρ sim. |]Φ[,]Ρ[,]Ψ[sim. ‖ **112** Ι ad Α add. A[1]? | Τ[, Ν[sim. | μετ[έπειτα K., μετ[ὰ κείναν J. ‖ **118** ΔΕΞΙΑΕΑΔΙ: A[1]? ‖ **123** ΚΝΩϹϹΟΝ: Bl. ‖ **124** ΩΠΙΔ: A[1] ‖ **125** Δ̣ΕΚΑΤΩ: Ι add. A[1] ‖ **127** -ΚΥΔΕΪ | fin. suppl. Bl. cl. 13, 182; κούρα (K.) brevius spatio ‖ **128** ἐσσόμενον] Ludw., ὀρθόδικον] Wolff

129 ——◡—] . δν.[—◡—
(desunt vv. II)

—

(desunt vv. VI)
138 —◡———◡] . ξα̣ν θύγατρες

)—

col. 5 Ζ´ 1 πόλ[ιν ———]ν̣ βαθυδεί–
ελον̣· [ἐκ το]ῦ̣ μὲν γένος
3 ἔπλε[το καρτε]ρόχειρ
Ἀργεῖο[ς ◡—◡] λέοντος
5 θυμὸ[ν ἔχων], ὁπότε
χρεί[α συνα]βολοῖ μάχας,
7 ποσσί[ν τ' ἐλα]φρό[ς, π]α̣τρίων
τ' οὐκ [◡̣] .[——— κ]α̣λῶν,

—

1 τόσα Παν[θείδᾱι κλυτό]το–
ξος Ἀπό[λλων ὤπασε]ν,
3 ἀμφί τ' ἰατο[ρίᾱι
ξείνων τε̣ [φι]λάνορι τ̣[ι]μ̣ᾶι·
5 ε]ὖ δὲ λαχὼν [Χ]αρίτων
πολλοῖς τε θ[αυ]μασθεὶς βροτῶν
7 αἰῶν' ἔλυσεν [π]έντε παῖ–
δας μεγαινή[το]υς λιπών.

—

1 τ]ῶν ἕνα οἱ Κ[ρο]νίδας
ὑψίζυγος Ἰσ[θ]μιόνικον
3 θῆκεν ἀντ' [εὐε]ργεσιᾶν, λιπαρῶν τ' ἄλ–
λων στεφάν[ων] ἐπίμοιρον.

129]C vel]E | A[, O[sim. ‖ **138** fr. 34 K. |]HΞ,].IΞ, non]YΞ ‖ **139**]N vel]AI, οἰκίσσ]α̣ι̣ vel οἴκισ(σ)α]ν̣ Sn. ‖ **140** ΔΙΕΛΟΙ: E add. A[3] |]Y fere certum, non]C, suppl. Edm. ‖ **142** ἔσω τε, ἔσωθε Headl., Bl. cl. 17, 22 ‖ **143** Bl. alii ‖ **144** AXPÉI[: A[1]? | ΛΟÎ, suppl. Maehler ‖ **145**]A,]Λ | ἐλα]φρό[ς Nairn, Housm. (-οῖς K.) ‖ **146**]Y[,]T[,]P[,]Φ[sim.; ἀφειλκύσθη ? ‖ **147** Πανθοίδα K., sed cf. 2, 14 ‖ **149** T'AT: A[1] ‖ **150** T[pot.qu. Y[|]M,]N,]Π sim. ‖ **158** MOIPΩN: A[3]

φαμὶ καὶ φάσω ˪μέ˩γιστον
κῦδος ἔχειν ἀρετάν· πλοῦ–
τος δὲ καὶ δειλοῖσιν ἀνθρώπων ὁμιλεῖ,

)—

Η′ ἐθέλει δ᾽ αὔξειν φρένας ἀν–
δρός· ὁ δ᾽ εὖ ἔρδων θεούς
ἐλπίδι κυδροτέρᾱι
σαίνει κέαρ. εἰ δ᾽ ὑγιείας
θνατὸς ἐὼν ἔλαχεν
ζώειν τ᾽ ἀπ᾽ οἰκείων ἔχει,
πρώτοις ἐρίζει· παντί τοι
τέρψις ἀνθρώπων βίωι

—

ἕπεται νόσφιν γε νόσων
πενίας τ᾽ ἀμαχάνου.
ἶσον ὅ τ᾽ ἀφνεὸς ἱ–
μείρει μεγάλων ὅ τε μείων
col. 6 παυροτέρων· τὸ δὲ πάν–
των εὐμαρεῖν οὐδὲν γλυκύ
θνατοῖσιν, ἀλλ᾽ αἰεὶ τὰ φεύ–
γοντα δίζηνται κιχεῖν.

—

ὄντινα κουφόταται
θυμὸν δονέουσι μέριμναι,
ὅσσον ἂν ζώηι †χρόνον, τόνδ᾽ ἔλαχε̣ν̂† τι–
μάν. ἀρετὰ δ᾽ ἐπίμοχθος

159—161 Plut. de aud. poet. 14, 36C (e florilegio quodam, ut videtur) τὸ δὲ 'φάσω – ὁμιλεῖ' λεγόμενον ὑπὸ τοῦ Βακχυλίδου ‖ **167** Synes. laud. calv. 13 p. 77[a] ἂν μὲν γὰρ ᾖ τῆς Πινδάρου τυγχάνειν εὐχῆς καὶ 'ζῆν ἔχωμεν ἀπὸ τῶν οἰκείων'

159]Γ vel]Τ | φάσωμε πιστὸν Plut. ‖ **161** ΑΝΘΡΩΠΟΙΣ: **A**[1] ‖ **165** ΥΓΕΪ́ΑΣ: **A**[2] ‖ **166** ΕΛΑΚΕΝ: **A**[1] ‖ **167** ΕΧΕΙΝ: **A**[3] ‖ **168** ΠΡΩΤΟΣ: **A**[3] | τοι add. **A**[2] ‖ **170** ΝΟΥ |. . Ν: Bl. alii ‖ **175** ΜΑΡΕΙ̂: **A**[2] ‖ **180** ΧΕ̣ΝΤΙ i.e. – χεᾶν? | punctum super ΝΤ nescio an fortuito sit positum

μέν, τ]ε̣λ̣ευταθεῖσα δ' ὀρθῶς
6 ἀνδρὶ κ]α̣ὶ εὖτε θάνηι λεί–
π̣[ει πολυ]ζήλωτον εὐκλείας ἄ[γαλ]μα.

2

ΤΩΙ ΑΥΤΩΙ

metrum: iambi et clausula priapea (v. p. XXXV sq.)

ΣΤΡ	⏑–⏑– –⏑⏑– ⏑–– ‖	*ia cho ba* ‖	*ΕΠ*	⏑–⏑– –⏑⏑–	*ia cho*
	–⏑⏑– –⏑⏑–	*2 cho*		⏑–⏑– –⏑⏑– |	*ia cho* |
	⏑–⏑– –⏑⏑–	*ia cho*		⏑– –⏑⏑–⏑– |	
	⏑⏑ ⏑–⏑⏑–⏑–			–––⏑⏑–– ⦀	*priap*
	– ⏑–⏑⏑–– ⦀	*priap* ⦀			

Ἄ[ϊξον, ὦ] σεμνοδότειρα Φήμα,
ἐς Κ[έον ἱ]ερ̣άν, χαριτώ–
νυμ[ον] φέρουσ' ἀγγελίαν,
ὅτι μ[ά]χ̣ας θρασύχειρ<ος> Ἀρ–
γεῖο[ς ἄ]ρατο νίκαν,

καλῶν δ' ἀνέμνασεν, ὅσ' ἐν κλε̣[εν]νῶι
αὐχένι Ἰσθμοῦ ζαθέαν
λιπόντες Εὐξαντίδα νᾶ–
σον ἐπεδείξαμεν ἑβδομή–
κοντα [σὺ]ν στεφάνοισιν.

καλεῖ δὲ Μοῦσ' αὐθιγενής

183 Λ[, Χ[, Α[possis | ΛΕΙ add. **A**^{2} ‖ **184** Π̣[hasta

2 4]Χ,]Κ,]Λ,]Δ Festa alii | ΘΡΑΣΎΧΕΙΡΑΡ: J.

γλυκεῖαν αὐλῶν καναχάν,
γεραίρουσ᾽ ἐπινικίοις
14 Πανθείδα φίλον υἱόν.

3

ΙΕΡΩΝΙ ΣΥΡΑΚΟΣΙΩΙ ΙΠΠΟΙΣ [ΟΛΥ]Μ̣ΠΙΑ

ΣΤΡ metra iambica et aeolica (v. p. XXXV sq.) Α´–Ζ´

15.85 15.85.89 ⏒–⏑⏕ x ⏖ ⏑–⏑–– ‖	*trim iamb catal* ‖
⏒–⏑⏑–⏑⏑–⏑–– ‖	$_\wedge$*hipp*^{d} ‖
-3.35 ⏓ –⏑⏑–⏑⏑–⏑–⏑ ⁝	
18.64.78? –⏑–⏒– ⁝ ⏑⏑–⏑–– ⦀	$_\wedge$*gl* ^{d} *ia* $_\wedge$*hipp* ⦀

ΕΠ dactyloepitr. (v. p. XXVI)

79.93 ⏓ –⏑⏑–⏑⏑––	x D - E ‖
80 –⏑– ⏓ –⏑– ‖	
67 –⏑– ⏓ –⏑–	E - E ‖
40 ––⏑⏕ ––⏑– ‖	
83 69 ⏕ ⏑–⏓ –⏑– ⏓ –⏑–	E - e E ⦀
84.98 –⏑– ⏓ –⏑– ⦀	

13 ΚΙΟϹ: Α[1] ‖ 14 ΕΙΔΑΙ: Α[1]

Α′ Ἀριστο[κ]άρπου Σικελίας κρέουσαν
Δ[ά]ματρα ἰοστέφανόν τε Κούραν
ὕμνει, γλυκύδωρε Κ̣λ̣εοῖ, θοάς τ' Ὀ-
λυμ]πιοδρόμους Ἱέρωνος ἵππ[ο]υς.

σεύον]το γὰρ σὺν ὑπερόχωι τε Νίκᾱι
σὺν Ἀγ]λαΐᾱι τε παρ' εὐρυδίναν
Ἀλφ̣ε̣ό̣ν, τόθι] Δ̣εινομένε̣ο̣ς ἔθηκαν
ὄλβιον τ̣[έκος στεφάνω]ν κυρῆσαι·

θρόησε δὲ λ[αὸς ⏑– –·
ἆ τρισευδαίμ[ων ἀνήρ,
ὃς παρὰ Ζηνὸς λαχὼν
πλείσταρχον Ἑλλάνων γέρας
οἶδε πυργωθέντα πλοῦτον μὴ μελαμ-
φαρέϊ κρύπτειν σκότωι.

Β′ βρύει μὲν ἱερὰ βουθύτοις ἑορταῖς,
βρύουσι φιλοξενίας ἀγυιαί·
λάμπει δ' ὑπὸ μαρμαρυγαῖς ὁ χ̣ρ̣υσός,
ὑψιδαιδάλτων τριπόδων σταθέντων

πάροιθε ναοῦ, τόθι μέγιστον ἄλσος
Φ̣ο̣ίβου παρὰ Κασταλίας ῥεέθροις
Δελφοὶ διέπουσι. θεὸν θ[εό]ν τις
ἀγλαϊζέθω̣ γὰρ ἄριστος ὄλβων·

3 1—3 suppl. fr. 38a K. ‖ ΚΛΕΙΟΙ: Bl. ‖ **7** τόθι Palmer ‖ **8—10** fr. initia versuum continens hic collocavit K. ‖ **8** Τ[pot.quam Φ[non Γ[τέκος Edm. ‖ **9** λ[αὸς Ἀχαιῶν K., ἀπείρων Bl. cl. 9, 30; ἀγασθείς J. ‖ **12** ΓΕΝΟϹ: A^{1} ‖ **13** ΜΕΛΛΗ: A^{1}? ‖ **14** ΦΑΡΕ̣ΙΝ: A^{2} ‖ **15** ΕΡΑ: Ϊ A^{3}? ‖ **21** Palmer ‖ **22** ΑΡΙϹΤΟΝ ΛΒΟΝ: A^{3}

ἐπεί ποτε καὶ δαμασίππου
  Λυδίας ἀρχαγέταν,
εὖτε τὰν πεπ[ρωμέναν
  Ζηνὸς τελέ[σσαντος κρί]σιν
Σάρδιες Περσᾶ̣[ν ἁλίσκοντο στρ]ατῶι,
  Κροῖσον ὁ χρυσά̣[ορος
—
Γ′ φύλαξ᾿ Ἀπόλλων. [ὁ δ᾿ ἐς] ἄ̣ελπτον ἆμαρ
μ[ο]λὼν πολυδ[άκρυο]ν̣ οὐκ ἔμελλε
μίμνειν ἔτι δ[ουλοσύ]ναν· πυ̣ρὰν δὲ
  χαλκ̣[ο]τειχέος π̣[ροπάροι]θεν αὐ[λᾶς
—
ναήσ̣ατ᾿, ἔνθα σὺ[ν ἀλόχωι] τε κεδ[νᾶι
σὺν̣ εὐπλοκάμοι[ς τ᾿] ἐπέβαιν᾿ ἄλα̣[στον
θ]υ̣[γ]α̣τράσι δυρομέναις· χέρας δ᾿ [ἐς
  αἰ]πὺν̣ αἰθέρα σφετέρας ἀείρας
—
γέ]γω̣νεν· "ὑπέρ[βι]ε δαῖμον,
  πο]ῦ θεῶν ἐστιν χάρις;
πο]ῦ δὲ Λατοίδας ἄναξ;
ἔρρουσ]ι̣ν Ἀλυά[τ]τα δόμοι
–⏑– ⏓ –⏑– ⏓] μυρίων
  –⏑– ⏓ –⏑–]ν·
)—
Δ′ ⏓ –⏑⏕ ⏓ ⏕ ⏑–⏑]ν ἄστυ,
ἐρεύθεται αἵματι χρ̣υσο]δίνας
col. 8 Πακτωλός, ἀεικελίως γυναῖκες
  ἐξ ἐϋκτίτων μεγάρων ἄγονται·
—

23 ΕΠΕΙ ΠΟΤΕ: ΚΟΤΕ A[3]? ‖ 25 Palmer ‖ 26 τελέσσαντος Wackern. | κτίσιν K., κρίσιν Weil ‖ 27 ἁλίσκοντο Wackern., ἐπόρθηθεν Maas ‖ 28 χρυσά[ορος Palmer, χρυσά[ρματος K. ‖ 30]ΛΩΝ vel]ΛΏΝ ?, μολὼν J. |]Ν vel]ΑΙ ‖ 31 δουλοσύναν J. | ΠΥ̣Ρ̣: Υ fere certum, deinde Ρ̣, Τ̣ sim. ‖ 37 ὑπέρβιε Bl. ‖ 41]CΜΥΡΙΩΝ: C del. A[3]? ‖ 44 K., cf. Hsch. ε 5756 ἐρεύθεται· πίμπλαται

τὰ πρόσθεν [ἐχ]θρὰ φίλα· θανεῖν γλύκιστον."
τόσ' εἶπε, καὶ ἀβ[ρο]βάταν κ[έλε]υσεν
ἅπτειν ξύλινον δόμον. ἔκ̣[λα]γον δὲ
  παρθένοι, φίλας τ' ἀνὰ ματρὶ χεῖρας

ἔβαλλον· ὁ γὰρ προφανὴς θνα–
  τοῖσιν ἔχθιστος φόνων·
ἀλλ' ἐπεὶ δεινοῦ πυρὸς
  λαμπρὸν διάϊ[σσεν μέ]ν̣ος,
Ζεὺς ἐπιστάσας [μελαγκευ]θὲς νέφος
  σβέννυεν ξανθὰ[ν φλόγα.

Ε′ ἄπιστον οὐδέν, ὅ τι θ̣[εῶν μέ]ριμνα
τεύχει· τότε Δαλογενὴ[ς Ἀπό]λλων
φέρων ἐς Ὑπερβορέο[υς γ]έροντα
  σὺν τανισφύροις κατ[έν]ασσε κούραις

δι' εὐσέβειαν, ὅτι μέ[γιστα] θ̣νατῶν
ἐς ἀγαθέαν <ἀν>έπεμψε Π̣[υθ]ώ.
ὅσο̣[ι <γε> μὲν Ἑλλάδ' ἔχουσιν, [ο]ὔτι[ς,
  ὦ μεγαίνητε Ἱέρων, θελήσει

φάμ]ε̣ν σ̣έο π̣λ̣είονα χ̣ρ̣υσὸν
  Λοξί]ᾳι πέμψαι βροτῶν̣.
εὖ λέγειν πάρεστιν, ὅσ–
  τις μ]ὴ φθόνωι πιαίνεται,
. . . .]λη φίλιππον ἄνδρ' ἀρήϊον

47 ΘΕΝΔ: Fraccaroli | ἐχθρὰ Palmer | ΝΥΝ supra ΑΦΙΛ add. A[3] || **48**]ΒΑΩΤΑΝ: A[1] || **51—53** suppl. frr. 25 et 26 K. || **51** ΕΒΑΛΛΕΝ: A[1] | ΘΙΑ: A[1] || **56** Palmer || **57** Θ[pot.quam C[, non O[|| **62** <ἀν> Bl. alii || **63** <γε> Bl. alii || **65** φάμεν Bl. | σέο Palmer || **66** Bl. alii || **68** ὅστις μὴ Palmer | ΪΑΙΝΕΤΑΙ: Π add. A[3] || **69—72** suppl. fr. 21 K. || **69** θεοφιλῆ (Herw.) longius spatio ut vid., εὐθαλῆ Sandys

. . . .]ίου σκᾶπτρον Διός
)—
F′ ἰοπλό]κων τε μέρο[ς ἔχοντ]α Μουσᾶν·
. . . .]μαλεαι ποτ[ε . . . . . .] ̣́ιων
. . . .]ν̣ος ἐφάμερον α[. . . . . .]·
. . . .]α̣ σκοπεῖς· βραχ[ύς ἐστιν αἰών·
—
πτε[ρ]ό̣ε̣σσα δ' ἐλπὶς ὑπ[ολύει ν]όημα
ἐφαμ]ερίων· ὁ δ' ἄναξ [Ἀπόλλων
. . . . .]΄.λ̣ος εἶπε Φέρη[τος υἷι·
col. 9 "θνατὸν εὖντα χρὴ διδύμους ἀέξειν
—
γνώμας, ὅτι τ' αὔριον ὄψε̣α̣ι
μοῦνον ἁλίου φάος,
χὤτι πεντήκοντ' ἔτε̣α̣
ζωὰν βαθύπλουτον τελεῖς.
ὅσια δ̣ρ̣ῶν εὔφραινε θυμόν· τοῦτο γὰρ
κερδέων ὑπέρτατον."
)—
Z′ φρονέ̣ο̣ντι συνετὰ γαρύω· βαθὺς μὲν
αἰθὴρ ἀμίαντος· ὕδωρ δὲ πόντου
οὐ σάπεται· εὐφροσύνα δ' ὁ χ̣ρ̣υσός·
ἀνδρὶ δ' οὐ̣ θέμις, πολιὸν π̣[αρ]έντα
—
γῆρας, θάλ[εια]ν αὖτις ἀγκομίσσαι
ἥβαν. ἀρετᾶ[ς γε μ]ὲν οὐ μινύθει
βροτῶν ἅμα σ[ώμ]α̣τι φέγγος, ἀλλὰ
Μοῦσά νιν τρ[έφει.] Ἱέρων, σὺ δ' ὄλβου
—

70 ξεινίου Nairn, τεθμίου vel δαμίου Bl. || **71**] ̣́Κ. | suppl. Bl. || **72** ΛΈΑΙ | Ν in Π correctum |]Ή́ΩΝ, Ε]ΊΩΝ sim. || **73**]Ν,]ΛΙ,]ΑΙ || **74** καίρι]α σκόπει{ς} Lloyd-Jones cl. schol. pap. **M** fr. 3, v. p. | fin. Bl. || **75** cf. schol. pap. **M** fr. 3, 6—8 (v. p.) || **76** ἐπαμε-ρίων J., Sandys || **77**] ̣́Λ vel] ̣́Δ, ὁ βουκόλος K., ἑκαβόλος J. | υἷι Platt, Wackern. || **78** ΕΥΤΑΝΧΡΗ: **A**[2] ? || **88** Π[aut Γ[, παρέντα J. || **89** – ΙCΑΙ || **91** Ingram ||

κάλλιστ' ἐπεδ[είξ]αο θ̣ν̣ατοῖς
  ἄνθεα· πράξα[ντι] δ' εὖ
οὐ φέρει κόσμ[ον σι]ω–
  πά· σὺν δ' ἀλαθ[είᾱι] κ̣αλῶν
καὶ μελιγλώσσου τις ὑμνήσει χάριν
  Κηΐας ἀηδόνος.

4

ΤΩΙ ΑΥΤΩΙ
<ΙΠΠΟΙΣ> ΠΥΘΙΑ

metrum: aeolica et dactylica (v. p. XXXV sq.)

1	⏑⏑⏑–⏑⏑–⏑–	*gl*
	⏑⏑⏑–⏑⏑–⏑–– ǀ	*hipp* ǀ
3	–⏑⏑–⏑⏑–⏑⏑–– ǀ	*4 dact* ǀ
	⏑– ⏒ ⏓ –⏑⏑–⏑– –⏑– ǀ	*ba ‸gl cr* ǀ
5	–⏑⏑–⏑⏑–⏑⏑ ǀ	
	–⏑⏑–⏑⏑– ǀ ⏑–– ǀ	*6 dact ba* ǀ
7	⏑⏑⏑–⏑⏑– <⏑>–	*gl*
	⏑––⏑–⏑⏑–⏑–– ǀ	*ba ‸hipp = chodim ba* ǀ
9	⏑⏑⏑–⏑–⏑⏑– ǀ	*chodim* ǀ
	–⏑–⏑⏑–⏑–– ǀǀǀ	*hipp* ǀǀǀ

Α΄ 1 Ἔτι Συρακοσίαν φιλεῖ
  πόλιν ὁ χρυσοκόμας Ἀπόλλων,
3 ἀστύθεμίν θ' Ἱέ[ρω]να γεραίρει·
  τρίτον γὰρ παρ' [ὀμφα]λὸν ὑψιδείρου χθονός
5 Πυ̣[θ]ιόνικος ἀ[είδε]ται
  ὠ[κυ]πόδων ἀρ̣[εταῖ] σὺν ἵππων.

96]Κ vel]Χ

4 5 Υ[vel Χ[, non Λ[ǁ **6** ἀρετᾶι Bl. alii

ἐ̣[. . . .] ἁδυεπὴς ἀ̣[να-
ξιφόρ]μιγγος Οὐρ[αν]ί̣ας ἀλέκτωρ
. . . . . .]εν· ἀλλ' ἐκ[όν]τι νόωι
. . . . . ο]υς ἐπέσεισ̣ε⌊ν⌋ ὕμνους.

Β′
ἔτι δὲ τέ]τρατον εἴ τις ορ–
. . . . . (.)] εἷλκε Δίκας τάλαν[τ–,
col. 10 Δεινομένε̣ο̣ς κ' ἐγεραί[ρ]ο̣μεν υἱόν
†παρεστίαν† ἀγχιάλοισι Κ̣[ί]ρ̣ρ̣ας μυχοῖς
μοῦνον ἐπιχθονίων̣ τ̣άδε
μησάμενον στεφάνοις ἐ̣ρέπτειν
δύο τ' ὀλυμπιονικ<ί>ας
ἀείδειν. τί φ̣έ̣ρτερον ἢ θ̣ε̣ο̣ῖ̣σ̣ιν
φίλον ἐόντα παντο[δ]α̣πῶν
λαγχάνειν ἄπο μοῖρα[ν] ἐ̣σ̣θλῶν;

5

metrum: dactyloepitr. (v. p. XXVI) Α′–Ε′

ΣΤΡ – D E – ‖^{3} – D – D ⏓ e | ^{5}D – D ‖ ^{7}E – e ⏓ e ‖ (4.19.59)
^{9}– D – e – D ‖ ^{11}– D E ‖ ^{13}– D – D E |||

ΕΠ – d^{1} E ⏓ | D |^{3}– D ⏓ e – | E – | ^{5}D – E ⏓ e ‖ (31; 33.113; 36.76)
^{7}– D ⏓ | e ⏓ e ⏓ | ^{9}D | E ⏓ e – ||| (37; 38; 78; 40)

7 Ἐ[, ἔ[λακε δ'] Sn. | A[pot.quam Λ[‖ **7—8** Maas ‖ **9** Bl. ‖ **10** ἐπέσεισεν Lobel cl. schol. pap. **M** fr. 5 (v. p.) | καὶ (Sn.) νέο]υς (Gallavotti) ? ‖ **11**sq. suppl. fr. 19 K. ‖ **11** ἔτι δὲ Pfeiffer, τέ]τρατον Gallavotti | ὀρ–|[θόνομον Norsa, ὀρ[θὰ θεὸς] . . . τά–λαν[τα Sn., ὀρ[θότερον Pfeiffer ‖ **14** ΠΑΡΕϹΤΊΑΝ: πάρεστίν νιν Bl., πάρεστιν δ' ἐν Maehler, πάρεστι < μ> ἀν Wil., παρέστα δ' ἄν vel παρῆν δ' ἄμμιν Pfeiffer |]P pot.quam]B, Κί]ρρας Bl. ‖ **17** – κ<ί>ας Maas

Α′ Εὔμοιρε [Σ]υρακ[οσίω]ν
ἱπποδινήτων στρατα[γ]έ,
γνώσηι μὲν [ἰ]οστεφάνων
Μοισᾶν γλυκ[ύ]δωρον ἄγαλμα, τῶν γε νῦν
αἴ τις ἐπιχθονίων,
ὀρθῶς· φρένα δ' εὐθύδικ[ο]ν
ἀτρέμ' ἀμπαύσας μεριμνᾶν
δεῦρ' <ἄγ'> ἄθρησον νόωι·
ἦ σὺν Χαρίτεσσι βαθυζώνοις ὑφάνας
ὕμνον ἀπὸ ζαθέας
νάσου ξένος ὑμετέραν
ἐς κλυτὰν πέμπει πόλιν,
χρυσάμπυκος Οὐρανίας
κλεινὸς θεράπων· ἐθέλει
γᾶρυν ἐκ στηθέων χέων

αἰνεῖν Ἱέρωνα. βαθὺν
δ' αἰθέρα ξουθαῖσι τάμνων
ὑψοῦ πτερύγεσσι ταχεί–
αις αἰετὸς εὐρυάνακτος ἄγγελος
Ζηνὸς ἐρισφαράγου
θαρσεῖ κρατερᾶι πίσυνος
ἰσχύϊ, πτάσσοντι δ' ὄρνι–
χες λιγύφθογγοι φόβωι·
οὔ νιν κορυφαὶ μεγάλας ἴσχουσι γαίας,
οὐδ' ἁλὸς ἀκαμάτας
δυσπαίπαλα κύματα· νω–

col. 11

5 26 schol. Hes. Th. 116 B. δὲ χάος τὸν ἀέρα ὠνόμασε, λέγων περὶ τοῦ ἀετοῦ· νωμᾶται δ' ἐν ἀτρυγέτῳ χάει, schol. Ar. Av. 192 (verba „Ibyci") ποτᾶται δ' ἐν ἀλλοτρίῳ χάει*

2 ΤΩΙ: **A**[1]? ‖ **8** < ἄγ'> Maehler ‖ **11—12** πέμ: πει κλεεννὰν ἐς πόλιν **A**: Maas ‖ **14** ΚΛΙΝΟϹ: **A**[3] | ἐθέλει δὲ **A**: δὲ secl. Walker ‖ **22** ΤΑϹϹΟΝΤΙ: **A**[2]? ‖ **23** ΦΟΙΒΩΙ: K. ‖ **24** ΜΕΓΑΛΑΙϹ: **A**[2] ‖ **26—27** ΝΩΜΑΙ : ΤΑΙ **A**: ΝΩΜΑ : ΤΑΙ **A**[1]: Walker

μᾶι δ' ἐν ἀτρύτωι χάει
13 λεπτότριχα σὺν ζεφύρου πνοι–
αῖσιν ἔθειραν ἀρί–
γνωτος ἀνθρώποις ἰδεῖν·

1 τὼς νῦν καὶ <ἐ>μοὶ μυρία πάντᾱ κέλευθος
ὑμετέραν ἀρετάν
3 ὑμνεῖν, κυανοπλοκάμου θ' ἕκατι Νίκας
χαλκεοστέρνου τ' Ἄρηος,
5 Δεινομένευς ἀγέρωχοι
παῖδες· εὖ ἕρδων δὲ μὴ κάμοι θεός.
7 ξανθότριχα μὲν Φερένικον
Ἀλφεὸν παρ' εὐρυδίναν
9 πῶλον ἀελλοδρόμαν
εἶδε νικάσαντα χρυσόπαχυς Ἀώς,

Β΄ 1 Πυθῶνί τ' ἐν ἀγαθέᾱι·
γᾶι δ' ἐπισκήπτων πιφαύσκω·
3 οὔπω νιν ὑπὸ προτέ[ρω]ν
ἵππων ἐν ἀγῶνι κατέχρανεν κόνις
5 πρὸς τέλος ὀρνύμενον·
ῥιπᾶι γὰρ ἴσος βορέα
7 ὃν κυβερνήταν φυλάσσων
ἵεται νεόκροτον
9 νίκαν Ἱέρωνι φιλοξείνωι τιτύσκων.
ὄλβιος ὧτινι θεὸς
11 μοῖράν τε καλῶν ἔπορεν
σύν τ' ἐπιζήλωι τύχᾱι

37—40 (νικάσαντα) schol. Pind. Ol. 1 argum. (1, 16, 3 Dr.) ‖ **50—55** Stob. Flor. 4, 39, 2 (5, 902 W.-H.) ‖ **50—53** (διάγειν) Apostol. XII 65e

28 ΠΝΟΑΙϹΙΝ ‖ **30** μετ' ἀνθρώποις **A**: μετ' secl. Walker ‖ **31** ~ 111 <ἐ> μοί Bl. ‖ **33** ΥΜΝΕΙ: Palmer ‖ **34** ~ 74 ‖ **43** ~ 83 | ΤΈ[‖ **46** ΒΟΡΕΑΙ: **A**[1] ‖ **47** ~ 167 ‖ **49** ΞΕΝ: K.

ἀφνε̣ὸ̣ν βιοτὰν διάγειν· οὐ
γά⌊ρ τις⌋ ἐπιχθονίων
π⌊άντ⌋α γ᾽ εὐδαίμων ἔφυ.

—

τ̣[ὸν γάρ π]οτ᾽ ἐρειψιπύλαν
παῖδ᾽ ἀνίκ]α̣τον λέγουσιν
δῦναι Διὸς] ἀργικεραύ–
col. 12 νου δώματα Φερσεφόνας τανισφύρου,
καρχαρόδοντα κύν᾽ ἄ–
ξοντ᾽ ἐς φάος ἐξ ᾽Αΐδα,
υἱὸν ἀπλάτοι᾽ Ἐχίδνας·
ἔνθα δυστάνων βροτῶν
ψυχὰς ἐδάη παρὰ Κωκυτοῦ ῥεέθροις,
οἷά τε φύλλ᾽ ἄνεμος
Ἴδας ἀνὰ μηλοβότους
πρῶνας ἀργηστὰς δονεῖ.
ταῖσιν δὲ μετέπρεπεν εἴδω–
λον θρασυμέμνονος ἐγ–
χεσπάλου Πορθανίδα·

—

τὸν δ᾽ ὡς ἴδεν Ἀλκμή<ν>ιος θαυμαστὸς ἥρως
τ̣[ε]ύχεσι λαμπόμενον,
νευρὰν ἐπέβασε λιγυκλαγγῆ κορώνας,
χαλκεόκρανον δ᾽ ἔπειτ᾽ ἐξ
εἵλετο ἰὸν ἀναπτύ–
ξας φαρέτρας πῶμα· τῶι δ᾽ ἐναντία
ψυχὰ προφάνη Μελεάγρου
καί νιν εὖ εἰδὼς προσεῖπεν·
"υἱὲ Διὸς μεγάλου,

53 οὐ – **55** Stob. Flor. 4, 34, 25 (5,833 W.-H.)

53 ΑΦΝΕΙΟΝ **A**, Stob., Apost. ‖ **55** πανγ vel παντ Stob. Flor. 4, 39, 2 ‖ **56** Τ[pot.quam Υ[, suppl. Maehler | ΕΡΕΙΨ: ΕΡΙΨ **A**^{1}? ‖ **57** K. ‖ **58** init. Palmer ‖ **69** ΕΝ: **A**^{3} ‖ **70** ΘΑΝΙΔΑ: ΘΑΟΝΙ–ΔΑ **A**^{3}? (Ἴ?) ‖ **78** ΠΡΟΣΕΕΙΠΕΝ

στᾶθι τ᾽ἐν χώρᾱι, γελανώσας τε θυμόν

Γ′ 1 μὴ ταὔσιον προΐει
τραχὺν ἐκ χειρῶν ὀϊστόν
3 ψυχαῖσιν ἔπι φθιμένων·
οὔ τοι δέος." ὣς φάτο· θάμβησεν δ᾽ἄναξ
5 Ἀμφιτρυωνιάδας,
εἶπέν τε· "τίς ἀθανάτων
7 ἢ βροτῶν τοιοῦτον ἔρνος
θρέψεν ἐν ποίᾱι χθονί;
9 τίς δ᾽ἔκτανεν; ἦ τάχα καλλίζωνος Ἥρα
κεῖνον ἐφ᾽ ἁμετέρᾱι
11 πέμψει κεφαλᾶι· τὰ δέ που
Παλλάδι ξανθᾶι μέλει."
col. 13 13 τὸν δὲ προσέφα Μελέαγρος
δακρυόεις· "χαλεπὸν
θεῶν παρατρέψαι νόον

1 ἄνδρεσσιν ἐπιχθονίοις.
καὶ γὰρ ἂν πλάξιππος Οἰνεύς
3 παῦσεν καλυκοστεφάνου
σεμνᾶς χόλον Ἀρτέμιδος λευκωλένου
5 λισσόμενος πολέων
τ᾽αἰγῶν θυσίαισι πατήρ
7 καὶ βοῶν φοινικονώτων·
ἀλλ᾽ἀνίκατον θεά
9 ἔσχεν χόλον· εὐρυβίαν δ᾽ἔσσευε κούρα
κάπρον ἀναιδομάχαν
11 ἐς καλλίχορον Καλυδῶ-
ν᾽, ἔνθα πλημύρων σθένει

80 ACTE ex ACAE corr. **A**[1] || **106** OC: ÓC **A**[3] ?: ἐς Palmer

ὄρχους ἐπέκειρεν ὀδόντι,
σφάζε τε μῆλα, β̣ρ̣οτῶν
θ' ὅστις εἰσάνταν μόλοι.
—
τῶι δὲ στυγερὰν δῆριν Ἑλλάνων ἄριστοι
στάσαμεθ' ἐνδυκέως
ἓξ ἄματα συνεχέως· ἐπεὶ δὲ δαίμων
κάρτος Αἰτωλοῖς ὄρεξεν,
θάπτομεν οὓς κατέπεφνεν
σῦς ἐριβρύχας ἐπαΐσσων βίᾱι,
Ἀ[γκ]αῖον ἐμῶν τ' Ἀγέλαον
φ[έρτ]α̣τον κεδνῶν ἀδελφε̣ῶ̣ν,
οὓς τέ]κεν ἐν μεγάροις
. . . . .]ς Ἀλθαία περικλειτοῖσιν Οἰνε̣ο̣ς
)—
Δ΄ . . . . . ὤ]λ̣εσε μοῖρ' ὀλοὰ
. . . . . .]ς· οὐ γάρ πω δαΐφρων
παῦσεν] χόλον ἀγροτέρα
col. 14 Λατοῦς θυγάτηρ· περὶ δ' αἴθωνος δορᾶς
μαρνάμεθ' ἐνδυκέως
Κουρῆσι μενεπτολέμοις·
ἔνθ' ἐγὼ πολλοῖς σὺν ἄλλοις
Ἴφικ̣λ̣ον κατέκτανον
ἐσθλόν τ' Ἀφάρητα, θοοὺς μάτρωας· οὐ γὰρ

113 CΥΝΕ A: CΥΝΝΕ A^3 ‖ **115** ΤΟΥC:Κ. | ΠΕΦΝΕ:Κ. ‖ **117** ΑΓΓΕΛΟΝ: Κ. ‖ **120** πατρὸς K., παῖδας Schadew. ‖ **121**]Λ̣ vel]Α̣ |]Λ̣ΕCΕΝ: A^2? | σύν τ' (vel σὺν δ') Edm., τοὺς δ' K., νῦν δ' Bl. (ἀλλ' brevius, πρὸς δ', τῶν δ' longius spatio) | ~ 176 ‖ **122** πλεῦνας Housm., $Bl.^1$, πάντας Ludwich ‖ **123** ~ 98 |]Χ̣ vel]Κ | **126** ΚΟΥΡΗΙCΙ: A^1 ‖ **129** ΑΦΑΡΗΑΤΑ: A^1 i.e. Ἀφάρητα vel Ἀφαρῆα | ΟΥΓΑΡ add. A^3

καρτερόθυμος Ἄρης
κρίνει φίλον ἐν πολέμωι,
τυφλὰ δ' ἐκ χειρῶν βέλη
ψυχαῖς ἔπι δυσμενέων φοι-
τᾶι θάνατόν τε φέρει
τοῖσιν ἂν δαίμων θέληι.

ταῦτ' οὐκ ἐπιλεξαμένα
Θεστίου κούρα δαΐφρων
μάτηρ κακόποτμος ἐμοί
βούλευσεν ὄλεθρον ἀτάρβακτος γυνά,
καῖέ τε δαιδαλέας
ἐκ λάρνακος ὠκύμορον
φιτρὸν ἐξαύσασα· τὸν δὴ
μοῖρ' ἐπέκλωσεν τότε
ζωᾶς ὅρον ἁμετέρας ἔμμεν. τύχον μὲν
Δαϊπύλου Κλύμενον
παῖδ' ἄλκιμον ἐξεναρί-
ζων ἀμώμητον δέμας,
πύργων προπάροιθε κιχήσας·
τοὶ δὲ π̣ρ̣ὸς εὐκτιμέναν
φεῦγον ἀρχαίαν πόλιν

Πλευρῶνα· μίνῡθεν δέ μοι ψυχὰ γλυκεῖα·
γνῶν δ' ὀλιγοσθενέων,
αἰαῖ· πύματον δὲ π̣ν̣έων δάκρυσα τ̣λ̣ά̣μων,
ἀγλαὰν ἥβαν προλείπων."
φασὶν ἀδεισιβόαν
col. 15 Ἀμφιτρύωνος παῖδα μοῦνον δὴ τότε

134 ΑΘΑΝ: Α[1] ‖ **137** ΚΟΡΑ ‖ **142** ΕΓΚΛΑΥΣΑΣΑ: Wackern. ‖ **146** ΕΞΑΝΑΡ ‖ **151** ΜΙΝΥΝΘΑ (cf. Il. A 416): Wil. ‖ **154** ΛΙΠΩΝ

τέγξαι βλέφαρον, ταλαπενθέ̣ο̣ς
πότμον οἰκτίροντα φωτός·
καί νιν ἀμειβόμενος
τᾶδ' ἔφα· "θνατοῖσι μὴ φῦναι φέριστον

Ε΄
μήδ' ἀελίου προσιδεῖν
φέγγος· ἀλλ' οὐ γάρ τίς ἐστιν
πρᾶξις τάδε μυρομένοις·
χρὴ κεῖνο λέγειν ὅτι καὶ μέλλει τελεῖν.
ἦρά τις ἐν μεγάροις
Οἰνῆος ἀρηϊφίλου
ἔστιν ἀδμήτα θυγάτρων,
σοὶ φυὰν ἀλιγκία;
τάν κεν λιπαρὰν <ἐ>θέλων θείμαν ἄκοιτιν."
τὸν δὲ μενεπτολέμου
ψυχὰ προσέφα Μελεά–
γρου· "λίπον χλωραύχενα
ἐν δώμασι Δαϊάνειραν,
νῆϊν ἔτι χρυσέας
Κύπριδος θελξιμβρότου."

λευκώλενε Καλλιόπα,
στᾶσον εὐποίητον ἅρμα
αὐτοῦ· Δία τε Κρονίδαν
ὕμνησον Ὀλύμπιον ἀρχαγὸν θεῶν,
τόν τ' ἀκαμαντορόαν

160 θνατοῖσι – **162** φέγγος Stob. Flor. 4, 34, 26 (5, 833 W.-H.) adiecto fr. 54; Heph. Ptol. (8,8 p. 43 Chatzis) ap. Phot. Bibl. 153a, 5 τὸ παρὰ Βακχυλίδῃ ὡς ἀπὸ Σειληνοῦ εἰρημένον

158 ΟΙΚΤΕΙΡ: Bl. ‖ **160** ΤΟΙΘ': ΤΑΔ' **A**^{3} τᾷδ' Wil. (cf. 191), τοῖ' Housm. ‖ **161** ΜΗΤ: μηδ' Stob. ‖ **164** ΚΡΗ: **A**^{2} ‖ **169** ΑΚΟ–ΙΤΑΝ: **A**^{2} | ΘΕΛΩΝ ‖ **170** ΤΟΝΚΕ: **A**^{2} ? ‖ **172** ΑῪΧ: ΑΥ̓Χ (vel ΑΎΧ ?) **A**^{3} ? ‖ **175** | ~ 190 ‖ **179** ΟΛΥΜΠΙΩΝ **A**^{3}

᾿Αλφεόν, Πέλοπός τε βίαν,
καὶ Πίσαν, ἔνθ' ὁ κλεεννὸς
πο]σσὶ νικάσας δρόμωι
ἦλθ]εν Φερένικος <ἐς> εὐπύργους Συρακόσ–
σας Ἱέρωνι φέρων
εὐδ]αιμονίας πέταλον.
χρὴ] δ' ἀλαθείας χάριν
col. 16 αἰνεῖν, φθόνον ἀμφ[οτέραισιν
χερσὶν ἀπωσάμενον,
εἴ τις εὖ πράσσοι βροτῶ[ν.

—

Βοιωτὸς ἀνὴρ τᾶδε φών[ησεν, γλυκειᾶν
Ἡσίοδος πρόπολος
Μουσᾶν, ὃν <ἂν> ἀθάνατοι τι[μῶσι, τούτωι
καὶ βροτῶν φήμαν ἕπ[εσθαι.
πείθομαι εὐμαρέως
εὐκλέα κελεύθου γλῶσσαν οὐ[––⏑–
πέμπειν Ἱέρωνι· τόθεν γὰ[ρ
πυθμένες θάλλουσιν ἐσθλ[ῶν,
τοὺς ὁ μεγιστοπάτωρ
Ζεὺς ἀκινήτους ἐν εἰρήν[ᾶι φυλάσσοι.

184 ἦλθεν Bl., Housm. | C<EC>EΥΠ Bl., Housm. | KOΥCCAC || **187** ΑΛΗΘ: Bl. || **188** ΕΙΝ: **A**[3] || **193** ΟΝ (quid significet ignoratur) | N<AN>A Housm., Wil., Bl. || **194** ΕΠ[, vix ΕΙΠ[vel ΕΙΓ[, suppl. Housm. || **196** οὐκ ἐκτὸς δίκας J., Drachm., οὐκ ἐκτὸς θεῶν Bl., οὐκ εκτὸς προείς Jur., οὐκ ἀμάχανος Schw., οὐ πλανώμενος Bucherer || **198** Bl., Jur., Wil. || **200** Bl. alii (φυλάσσει Palmer)

6

ΛΑΧΩΝΙ ΚΕΙΩΙ
<ΠΑΙΔΙ> ΣΤΑΔΙΕΙ ΟΛΥΜΠ[ΙΑ

metrum: aeolicum (v. p. XXXV sq.) Α′–Β′

1 ⏑–⏑–⏑–– | ⏑⏑–⏑–⏑–– || *ia ba* | *anacl* ||
3 –⏑⏑––⏑⏑–⏑–– | ⏑–⏑⏑–⏑ || *2 cho ba* | *‸pher* ||
5 –⏑–⏑–⏑– || *lec* ||
6 ⏑––⏑⏑–⏑– –⏑–⏑⏑–⏑–– | *gl hipp* |
8 ⏑⏑–⏑–– ||| *‸pher* |||

Α′ Λάχων Διὸς μεγίστου
λάχε φέρτατον πόδεσσι
3 κῦδος ἐπ᾿ Ἀλφεοῦ προχοαῖσ[⏑––
δι᾿ ὅσσα πάροιθεν
ἀμπελοτρόφον Κέον
6 ἄεισάν ποτ᾿ Ὀλυμπίαι
πύξ τε καὶ στάδιον κρατεῦ[σαν
στεφάνοις ἐθείρας

Β′ νεανίαι βρύοντες.
σὲ δὲ νῦν ἀναξιμόλπου
3 Οὐρανίας ὕμνος ἕκατι Νίκ[ας,
Ἀριστομένειον
ὦ ποδάνεμον τέκος,
6 γεραίρει προδόμοις ἀοι-
δαῖς, ὅτι στάδιον κρατήσας
Κέον εὐκλέϊξας.

6 3 ΛΑΦΕΙΟΥ?: ΑΛ **A**^{3}: -φεοῦ K. | κάλ᾿ αὔξων J., ἀέθλων Housm., –αῖσ[ι ῥέξας Maehler || **9** ΝΙΑΒΡ: **A**^{2} | ΟΝΤΕ **A**: C add. **A**^{2} || **13** ΠΟΔΑΟΝ: **A**^{3}?

7

ΤΩΙ ΑΥΤΩΙ

metrum: dactyloepitr. (v. p. XXVI) Α′–Β′

D ⏑ e | ?^{2} – E ⏓ e | ^{3} – D ⏑ e . . . . . . | ^{6} – D ⏓ e | ^{7} – E – e || ^{8} D – e | ^{9} – E – E – D – | ^{11} e – D – |||

Α′
1 Ὦ λιπαρὰ θύγατερ Χρόνου τε κ[αί
Νυκτός, σὲ πεντήκοντα μιηνῶν ἁμέραν
3 ἑκκαιδεκάταν ἐν Ὀλυμπ[ίᾱι ⏑–
col. 17 . . .]βαρυβρ[. . . . .] ἕκατι
. . .]ιτοσαιμα[
6 κρίνειν τα[χυτᾶτά τε] λαιψηρῶν ποδῶν
Ἕλλασι καὶ γυ[ίων ἀ]ρισταλκὲς σθένος·
8 ὧι δὲ σὺ πρεσβύ[τατο]ν νείμηις γέρας
νίκας, ἐπ' ἀνθρ[ώπ]οισιν εὔδοξος κέκλη–
ται καὶ πολυζή[λωτ]ος. Ἀρι[στομ]έν[ε]ιον
11 παῖδ]' ἐκόσμη[σας στε]φάν[οισι Λαχω]να
?)—

Β′
1 –⏑⏑–⏑⏑–⏑–⏑–
––⏑–––]χε Χαιρόλαν[⏑–
3 ––⏑⏑– μ]ενον εὐσεβ[–]ομωι
––⏑––]τωι θαν[άτω]ι δ[⏑⏑––
]ι πατρίδος· [
6 ––⏑⏑–⏑]νεοκρίτου[⏑–
––⏑–––]ν ἄτεκνον [–⏑–
(desunt vv. 19—22)

7 2 Favorin. π.φυγῆς col. 4, 49

1 ΛΙΠΑΡΟ: **A^{3}** ? || **3—11** ope VI fragmentorum, inter quae sunt frr. 29 et 33 K., suppl. Bl., Edm. || **5** ΜΑ[, non ΜΟ[|| **6** τα[χυτᾶτα Wackern., Platt, ταχυ<τα>τα Jur., fortasse recte || **7** ΑΛΚΕΕC: **A^{3}** ? || **8** ὯΔΕ: **A^{1}** | ΜΗΙΔΙΕΡΑΟ: **A^{3}** || **10** Bl. || **11** Maas, εὖτ' Edm. || **13—18** fr. 8 K. || **13**]Χ pot.quam]Κ, non]Υ || **14** εὐσεβεῖ νόμωι e.g. Maas || **18**]ΝΑΤ

8

[ΛΙΠΑΡΙΩΝΙ ΚΕΙΩΙ?]

metrum: dactyloepitr. (v. p. XXVII) Α′–Β′

– D | ²– D – | ³ E || ⁴ D – E || ⁶ E [–] e ⏑ e | ⁸ – e – (?) D
– || ¹⁰ – e – D – || ¹¹ – e – D – |
¹²⏑⏑e (vel e) ⏒ D – | ¹³ e e || ¹⁴ – e – | ¹⁵ D | ¹⁶ – e – |||

Α′ (desunt vv. VII)

. . .]ι̣ο̣ι̣' ἀγων̣[— (?)
.⏒⏒ .]ταν λιπα[ρ —
. ⏒.]ναισεπα[––⏑⏑–⏑⏑–– ||
⏒ π]α̣ῖδας Ἑλλά[νων ⏑⏑–⏑⏑––
ὁ πο]λυαμπελ[–⏑⏑–⏑⏑––
. . .]τον ὑμν[–⏑– ||
. .]ηνος ἐν Κ[έ̣ω̣ι
. .]ι̣περ ἄνιπ[πος ⏑–
. . .]π[

Β′ 1 Πυθῶνά τε μηλοθύταν
col. 18 ὑμνέ̣ω̣ν Νεμέαν τε καὶ Ἰσθ[μ]όν·
3 γᾶι δ' ἐπισκήπτων χέρα
κομπάσομαι· σὺν ἀλα–
θείᾱι δὲ πᾶν λάμπει χρέος·
6 οὔτις ἀνθρώπων κ[αθ' Ἑλλα–
νας σὺν ἅλικι χρόνω[ι
παῖς ἐ̣ὼ̣ν ἀνὴρ τε π[λεῦ–
νας ἐδέξατο νίκας.

8 Inscr. suppl. Körte

8—16 fr. 7 K. || **8**]Ι,]Π,]Μ | ΟΥ pot. quam ΟΙ̣ ut videtur || **9** Λιπά[ρου παῖς Maas || **11** Bl. | non plus quam ΗΠ] in initio fuisse videtur | Α̂[|| **12** Maas || **14** Κ[έωι Maas || **15**]Π pot. quam]Ι videtur esse | Π[vel Γ[|| **19** ΓΑ: Α¹ ?, cf. 5, 42 || **22**sq. Bl., κλεεννὰς K. || **23** ΕΝ: σὺν Headlam || **24** Bl., π[οσσὶ πλεῦ]νας Sandys || **25** ΝΟϹ: Α¹

ὦ Ζεῦ κ[ε]ραυνεγχές, κα[ὶ ἐπ' ἀργυ]ροδίνα
ὄχθαισιν Ἀλφειοῦ τελέσ[αις μεγ]αλοκλέ̣α̣ς̣
θεοδότους εὐχάς, περὶ κ[ρ̣ατί τ' ὀ]πά[σσαι]ς̣
γλαυκὸν Αἰτωλίδος
ἄνδημ' ἐλαίας
ἐν Πέλοπος Φρυγίου
κλεινοῖς ἀέθλοις.

9

ΑΥΤΟΜΗΔΕΙ ΦΛΕΙΑΣΙΩΙ
ΠΕΝΤΑΘΛΩΙ ΝΕΜΕΑ

metrum: dactyoloepitr. (v. p. XXVII) Α'–Δ'

ΣΤΡ e – D ⁝ – E ‖ [3] – D – e – | [4] e – D – | E ‖ [6] – D – |
E ‖ [8] – E – | E – e – |||
ΕΠ – e – D | e – D – e | [3] – E – | E | [5] D – E | [7] E – E – |||

Α' Δόξαν, ὦ χρυσαλάκατοι Χάρι[τ]ες,
πεισίμβροτον δοίητ', ἐπεί
Μουσᾶν γε ἰοβλεφάρων θεῖος προφ[άτ]ας
εὔτυκος Φλειοῦντά τε καὶ Νεμεαίου
Ζηνὸς εὐθαλὲς πέδον
ὑμνεῖν, ὅθι μηλοδαΐκταν
θρέψεν ἁ λευκώλε[νο]ς
Ἥρα περι[κλει]τῶν ἀέθλων
πρῶτον [Ἡ]ρ[α]κλεῖ βαρύφθογγον λέοντα.

—

26 sqq. suppl. fr. 17 K. Bl. ‖ **27** ΤΕΛΕϹϹ[: τέλεσας Bl., τέλεσσον K., – σαις Maas | ΦΙΟΥ: **A**[3] ‖ **28**]Ϲ̣ vel]Ε̣, κρᾶτί τ' ὀπάσσας Bl., ὀπάσσαις Maas ‖ **30** Μ' primo omissum add. **A**[3]

9 3 ΤΕ: γε Bl.[1], τοι Bl.[3] ‖ **6** ΟΤΙ ‖ **9**]Ρ[,]Υ[,]Φ[sim.

κε[ῖθι φοι]νικάσπιδες ἡμίθεοι
πρ[ώτιστ]ον Ἀργείων κριτοί
ἄθλησαν <ἐ>π' Ἀρχεμόρωι, τὸν ξανθοδερκής
πέφν' ἀωτεύοντα δράκων ὑπέροπλος,
σᾶμα μέλλοντος φόνου.
ὦ μοῖρα πολυκρατές· οὔ νιν
πεῖθ' Οἰκλείδας πάλιν
στείχειν ἐς εὐάνδρους ἀγ[υιάς.
ἐλπὶς ἀνθρώπων ὑφαιρ[εῖται νόημ]α·
—
ἃ καὶ τότ' Ἄδραστον Ταλ[αϊονίδαν
col. 19 πέμπεν ἐς Θήβας Πολυνεικέϊ πλα.ι[––⏑–
κείνων ἀπ' εὐδόξων ἀγώνων
ἐν Νεμέαι κλεινοὶ βροτῶν,
οἳ τριετεῖ στεφάνωι
ξανθὰν ἐρέψωνται κόμαν·
Αὐτομήδει νῦν γε νικά-
σαντί νιν δαίμων ἔ[δ]ωκεν,
)—
Β′ πενταέθλοισιν γὰρ ἐνέπρεπεν ὡς
ἄστρων διακρίνει φάη
νυκτὸς διχομηνίδο[ς] εὐφεγγὴς σελάνα·
τοῖος Ἑλλάνων δι' ἀπ[εί]ρονα κύκλον
φαῖνε θαυμ[α]στὸν δέμας
δίσκον τροχοειδέα ῥίπτων,
καὶ μελαμφύλλου κλάδον

10 φοι]νικ. Housm., Wil. ‖ **12** ΑΘΛΗΣΑΝΠΑΡΜΕΜΟΡΩΙΣΥΝΞ: **A³** (superscripta fuisse potest littera Ε super Π; sed nihil apparet) ‖ **13** ΑΣΑΓΕΡΟΝΤΑ: ΑΣΑΓΕΎΟΝΤΑ **A³**, ἀωτεύοντα RANeil ‖ **16** ΟΙΛΛΕΙΔΑΣ: **A³** ‖ **17** Γ[vel Π[‖ **18** Ρ[, non Γ[| νόημα Bl. ‖ **19** ΔΗ (om. ΚΑΙ): ΑΚΑΙ **A³** ‖ **20** ΞΙ[, ΓΙ[sim., sed incertum: fr. 35 K. quod huc traxit Bl. v. v. 76 | πλα[ξίππωι πέλας K., πλ. φίλον Herwerden ‖ **23** ΤΡΙΈΤΕΙ attico accentu ‖ **25** ΜΗΔΕΝΥΝΕΝΙΚΑΙ: **A³** ‖ **26** [Θ]ΗΚΕΝ: **A³** ‖ **30** Π[, Ι[sim. ‖ **32** ΡΙΠΤΩ͂Ν (accentum add. **A³** sec. K.)

8 ἀκτέ̣α̣ς ἐς αἰπεινὰν προπέμπων
αἰθέρ᾽ ἐκ χειρὸς βοὰν ὤτρυνε λαῶν·
—
1 ἦ τε[λε]υτάσας ἀμάρυγμα πάλας
τοίω[ι θ᾽ ὑπερθ]ύ̣μωι σ[θένε]ι̣
3 γυια[λκέα σώ]μ̣ατα [π̣ρ̣ὸς γ]αίᾱι πελάσσα[ς
ἵκετ᾽ [Ἀσωπὸ]ν πάρα πορφυροδίναν̣·
τοῦ κ[λέος π]ᾶσαν χθόνα
6 ἦλθε[ν καὶ] ἐπ᾽ ἔσχατα Νείλου,
ταί τ᾽ ἐπ᾽ εὐ̣ν̣αεῖ πόρωι
8 οἰκεῦσι Θερμώδον[τος, ἐ]γχέ̣ω̣ν
ἵστορες κοῦραι διωξίππο̣ι̣ Ἄρηος,
—
1 σῶν, ὦ πολυζήλωτε ἄναξ ποταμῶν,
ἐγγόνων γεύσαντο, καὶ ὑψιπύλου Τροίας ἕδος.
3 στείχει δι᾽ εὐρείας κελε[ύ]θου
μυρία πάντᾱι φάτις
5 σᾶς γενεᾶς λιπαρο–
ζώνων θυγατρῶν, ἃς θε̣[ο]ί
7 σὺν τύχαις ᾤκισσαν ἀρχα–
γοὺς ἀπορθήτων ἀγυιᾶν.
)—
Γ´ 1 τίς γὰρ οὐκ οἶδεν κυανοπλοκάμου
Θήβας εὔδμα[τον πόλι]ν,
col. 20 3 ἢ τὰν μεγαλώνυ]μον Αἴγιναν, μεγ[ίστ]ου
Ζην]ὸ̣ς [ἃ πλαθεῖσα λ]έ̣χει τέκεν ἥρω
. . .]δ̣ε̣ σ̣ω̣[. . . . .]ου,

36 ΤΕ[. .]ΥΤΑΙΑC: Hense | ΤΑΛΑC: A[3] || 37 Maehler, τοίω[ι γ᾽ M.L.West, τοιῶ[δ᾽ K. || 38]ΑΙΑΠΕΛΑCCΩ[Ν: A[3] || 39 Ἀσω–πὸν Bl. alii || 41 ΜΑΘΕ[: A[3] | καὶ K., τοι Weil || 42 εὐναεῖ J. || 44 ΚΟΡΑΙ: K. || 45 ΖΗΛΩΤ᾽ΑΝΑΞ: Bl. alii || 46 ΕΓΓΟΝΟΙ: Jur. alii || 51 ΑΡΧΑΙ: A[2] || 55—58 frr. 32, 37, 31 K. || 55 Bl. | ΜΝΟΝ: A[3] || 56]ΟC[,]CΕ[sim., suppl. Wil. || 57 τοῦδε σωτῆρα (Bl.) στρατοῦ (J.)

ὃς γ]ᾶς βασά[νοισιν Ἀχ]αιῶν
]υ̣[ ]α̣
τ[––⏑–––⏑––
α̣[. . . . .]ω̣[. . . . . . . ε]ὔπ̣ε̣πλον [. .] ΄[

ἠ[δὲ Πειράν]α̣ν̣ ἑ̣λ̣ικοστέφα̣[νον
κ[ούραν ὅ]σαι τ' ἄλλαι θεῶν
ε̣[ὐναῖς ἐδ]άμησαν ἀριγνώτ[ο]ις π̣[α]λαι̣[οῦ
παῖδες αἰ]δ̣ο[ῖ]α̣ι ποταμοῦ κε[λ]άδοντος·
–⏑––]αν πόλιν
––⏑⏑–]σί τε νικα[
–⏑– αὐ]λ̣ῶν βοαί
––⏑– ο]υσαι· μ̣ε̣β̣[––
–⏑–––⏑–––⏑–]α̣ν·

––⏑–––⏑⏑–⏑]νεος
χρ]υσέα[ν προσ]θέντα ἰόπλοκον εὖ εἰπεῖν [Κύπ̣ρ̣ιν,
τὰν μ]ατ[έρ' ἀκ]νάμ[π]των ἐρώτων
–⏑– κλε]ι̣νὰν β̣ρ̣ο̣το[ῖς
–⏑⏑–⏑]λ̣έων
––⏑––] προξεν[–
–⏑–––]ε̣ι̣ώταν
–⏑–––⏑]ν ὕμνον,

Δ΄ ὅς κε –––] καὶ ἀποφθιμένωι
––⏑ ἄτ]ρυτον χρόνον,
καὶ τοῖς ἐ]π̣ι̣γεινομένοις αἰεὶ πιφαύσκοι

58 Bl. ‖ **60** τ[ίς δ(ε) ? Bl. ‖ **61**]ω[vel]Δ[‖ **62** ΕΛΙ vel CΑΙ ‖ **62** sq. J. ‖ **64** Ε[pot.quam C[| Π[vel Γ[| Bl. ‖ **65**]ΔÒ[vel]ΛÒ[|]Α̣Ι, vix]Ν | J. ‖ **69** Α supra v. add. **A**[3] | ΜΕ̣Β̣[vel ΜΕ̣Ρ̣[, μερ[ιμν . . ? ‖ **70**]Ε̣Τ̣[. .]Α̣Ν Edm., sed incertissimum ‖ **72** προσ]θέντα Bl., sed longius spatio videtur esse ‖ **72** sq. suppl. fr. 20 K. | Κύπριν, ⁝ τὰν Bl. ‖ **74** sq. fr. 36 K. ‖ **76** Edm. recte huc traxit fr. 35 K. ‖ **77**]Ε pot.quam]Τ vel]Γ ‖ Ϊ (vel Υ) fortasse deletum ab **A**[3] ‖ **79** ΦΘΙΜΕΝΩΝ: **A**[3] | suppl. J.

σὰν Νέ]μεᾳ̣ι νίκαν· τό γέ τοι καλὸν ἔργον
γνησίων ὕμνων τυχόν
6 ὑψοῦ παρὰ δαίμοσι κεῖται.
σὺν δ' ἀλαθείᾱι βροτῶν
8 κάλλιστον, εἴπ̣[ερ καὶ θάνηι τις,
λε[ί]πεται Μουσ[ᾶν βαθυζώνων ἄθ]υ̣ρμα.

col. 21 1 εἰ[σ]ὶ δ' ἀνθρώ[πων ⏑⏑–⏑⏑–
πολλαί· δι[α]κ̣ρίν[ε]ι̣ δὲ θεῶ̣ν
3 β]ουλὰ [τὸ καλυπτό]μενον νυκ̣τὸς [δνοφοῖσιν
.] . . [⏑–––⏑]γε καὶ τὸν ἀρείω
–⏑–––⏑]που·
6 ––⏑⏑–⏑⏑]ευσων
–⏑–––⏑–]
8 ––⏑–––⏑ π]α̣ύροις
ἀν]δρ̣[άσιν ––⏑–––]ι̣ τὸ μέλλον·

1 . .]ι̣μι δ̣[––⏑⏑]δ̣ωκε χάριν
κ]αὶ Διων[υσ –⏑⏑–] θεοτίματ[ο]ν πόλιν
3 ν]αίειν ἀπο[––⏑]ευντας

81 sq. K. et Bl. | ΠΙΦΑΥCΚΩ: **A**[3] || **82** ΜΈΑ ΝΙΚ || **86** Π[aut Γ[|| **87** βαθυζώνων Bl. |]Υ,]Τ,]Γ || **89—93** suppl. frr. 3, 4, 8, 10 K. || **89**]Κ vel]Χ || **90** ΛΆ̣[|| **91** in initio versus .]ΑΠΤ[, .]ΕΞΠ[, .]ΑΓΓ[sim. | ΓΕ pot. quam ΤΕ || **93** propter spatium vacuum in summa linea Λ]ΕΥ vel Δ]ΕΥ fuisse videtur, non Τ]ΕΥ || **96** Ρ[vel Ι[| προγινώσκειν] τὸ Headlam, sed]Ι̣ pot.quam]Ν || **97**]Ι,]Η,]Μ sim. | Δ[pot.quam Ω[| ὔμμιν δὲ καὶ Δάματρος ἔδωκε χάριν καὶ Διωνύσου Κρονίδας θεοτίματον πόλιν ναίειν ἀπορθήτους θαλεῦντας. (100) χρυσεοσκάπτρου Διὸς ὅς τι καλὸν φέρεται, πᾶς αἰνέοι J. || **99** ΕΥΝΤΕC: **A**[3]

χ]ρυσεοσκάπτρ[–⏑–
5 ὅς] τι καλὸν φέ[ρεται,
. .]αινέοι· Τιμοξ[ένου
7 παιδὶ σὺν κώ[μοις νέων ὑμ–
νέ]οιτε πεντ[άθλοισι νίκαν.

10

[ΤΩΙ ΔΕΙΝΑ ΑΘΗΝΑΙΩΙ ΔΡΟΜΕΙ (?) ΙΣΘΜΙΑ]

metrum: dactyloepitr. (v. p. XXVII) Α′–Β′

ΣΤΡ – D – e – | E ⏒ (40) | 3 D – D ⏑ | 5 E – || 6 e – D d² | 7 E –
E x | 9 E – e ⏒ (47) | 10 e E ⏒ (20) e – |||

ΕΠ e – D || 2 – e ⏒ (22) e – || 3 – E – e – || 4 D – e – | D || 6
– D – | E – E – |||

Α′ 1 Φή]μα, σὺ γ[ὰ]ρ ἀ[⏑⏑––– ἐ]ποιχνεῖς
φῦ]λα, καὶ πα̅.[–⏑–⏒
3 . . . . .]μελαμει[⏑⏑–
]πο κευ[⏑⏑–⏒
5 . . . .]νωνται[–⏑––
–⏑]ά.ωι ξ[. .]ον, ὅτι χρύ[σ ⏑–⏑⏑–
7 ο[. . .]ν ὀφθαλμοῖσιν [––
π[αῦλ]αν ἀπράκταν . . [.] . [

100 CKÁΠ || **101** in. J. || **102** Bl. || **103**sq. Schadew.

10 1—4 suppl. fr. 23 K. || **1** Γ[vel Π[|]Π,]I sim. | ἀθανάτων θνατῶν τ' Headlam, ἀμφ' ἀρετᾶι θνατῶν Bl. || **2** φῦλα Wil. | ΠΑ̅[|| **3**]M vel]H || **6**]ω vel]Á, tum P vel I || **6**sq. ὅ τι χρυ[σέαν ἴδον εὔ]ο[λβο]ν ὀφθαλμοῖσι Ν[ίκαν] π[αῦλ]αν ἀπράκταν [τε μόχθων J. || **7**]N,]I sim., fort.]C, οἶσιν ὀφθ. Bl.

ἀ[. .]α̣ οἱ καὶ νῦν κασιγνήτας ἀκοίτας
ν̣ασιῶτιν̄ ἐκίνησεν λιγύφθογγον μέλισσαν,

ἐ̣γχειρὲς ἵν' ἀθάνατον Μουσᾶν ἄγαλμα
ξυ̣νὸν ἀνθρώποισιν εἴη
χάρμα, τεὰν ἀρετὰν
μανῦον ἐπιχθονίοισιν,
ὅσσα<–> Νίκας ἕκατι
ἄνθεσιν ξανθὰ̣ν̣ ἀναδησάμενος κεφαλάν
κῦδος εὐρείαις Ἀθάναις
θῆκας Οἰνείδαις τε δόξαν,
ἐν Ποσειδᾶνος περικλειτοῖς ἀέθλοις
col. 22 ἀνίκ' ἄμφαν]ας Ἕλλασιν ποδῶν ταχεῖαν ὁρμάν.

ε̣ὖ̣τ̣[ε γὰρ τέ<ρ>θ]ροισιν ἔπι σταδίου
θερμ[ὰν ἀπο]πνε<ί>ων ἄελλαν
ἔστα, [δίανε]ν̣ δ' αὖτε θατήρων ἐλαίωι
φάρε[' ἐς ἀθρόο]ν ἐμπίτνων ὅμιλον
τετρ̣[αέλικτο]ν ἐπεί
κάμψ[εν δρό]μον, Ἰσθμιονίκαν
δίς ν[ιν ἀγκ]άρυξαν ε̣ὐβού-
λων [ἀεθλάρχ]ων προφᾶται·

Β' δὶς δ' ἐ[ν Νεμέ]ᾱι Κρονίδα Ζηνὸς παρ' ἁγνόν
βωμὸ[ν· ἁ κλει]νά τε Θήβα

8 Π[vel Γ[| post ἀπρ. IC[, PE[sim. || **9**]A vel]Λ || ὉI vel ʽOI, non ὯI || ἀ[λλ]ά οἱ ? || **11** E vel C, vix O, ἐγχειρὲς Sn. || **14** MANOON: A³ || **15** ὁσσάκις Niemeyer alii, ὅσσον αὖ Richards || **20**sq. Barrett || **22** Platt (-ε<ί> ων Barrett) || **23** AÏΞΕΘΑΤΗΡ: ΑΥΤΕ̣ΘΕΑΤΗΡ A³ | suppl. J. || **24** Barrett || **25** P[, I[sim. | Jur., Platt || **26** Ψ[, T[sim. || **26**sq. J. || **27** sq. EYBOI:AΩN: A³ (superscr. Λ) || **28** ἀεθλάρχων Platt, ἀ<ε> θλ. Barrett || **30** J.

δέκτ[ο νιν ε]ὐρύχορόν
τ᾽ Ἄργο[ς Σικυώ]ν τε κατ᾽ αἶσαν·
οἵ τε Π[ελλάν]αν νέμονται,
ἀμφί τ᾽ Εὔβοιαν πολ[υλάϊο]ν, οἵ θ᾽ ἱεράν
νᾶσον [Αἴγιν]αν. ματεύει
δ᾽ ἄλλ[ος ἀλλοί]αν κέλευθον,
ἅντι[να στείχ]ων ἀριγνώτοιο δόξας
τεύξεται. μυρίαι δ᾽ ἀνδρῶν ἐπιστᾶμαι πέλονται·

ἢ γὰρ σ[ο]φὸς ἢ Χαρίτων τιμὰν λελογχώς
ἐλπίδι χρυσέᾳι τέθαλεν
ἤ τινα θευπροπίαν
εἰδώς· ἕτερος δ᾽ ἐπὶ παισί
ποικίλον τόξον τιταίνει·
οἱ δ᾽ ἐπ᾽ ἔργοισίν τε καὶ ἀμφὶ βοῶν ἀ[γ]έλαις
θυμὸν αὔξουσιν. τὸ μέλλον
δ᾽ ἀκρίτους τίκτει τελευτάς,
πᾶ τύχα βρίσει. τὸ μὲν κάλλιστον, ἐσθλόν
ἄνδρα πολλῶν ὑπ᾽ ἀνθρώπων πολυζήλωτον εἶμεν·

οἶδα καὶ πλούτου μεγάλαν δύνασιν,
ἃ καὶ τ[ὸ]ν ἀχρεῖον τί[θησ]ι
χρηστόν. τί μακρὰν γ[λ]ῶ[σ]σαν ἰθύσας ἐλαύνω
ἐκτὸς ὁδοῦ; πέφαται θνατοῖσι νίκας
ὕστε]ρον εὐφροσύνα,

34]N,]I sim. ‖ **35** N[, I[sim. | ΑΙΓΕΙΝ scriptum esse spatio testatur, cf. 12, 6 ‖ **37** Bl. ‖ **38** ΕΠΙCΤΑΤΑΙ: **A**[3] ‖ **39** prius Γ supra v. additum | ἦ (non ἤ) Sn. | ΤΙΜÂΝ ‖ **47** ΠΑ: ΠᾹΙ **A**[3] | ΒΡΙCΕΝΟΜΕΝ: **A**[3] | ΕCΕΛΩΝ: ἐσθλῶν K., ἐσθλὸν Wil. ‖ **48** ἔμμεν K. ‖ **49** ΔΥΝΑΜΙΝ: **A**[3] ‖ **50** extr. I an IN? ‖ **51** Γ[, Π[| ΪΟΥCΑCΕΛ: ΪΘΥC[ΑC]ΕΛ **A**[1]: Υ super Ϊ **A**[3] | Bl., Housm. alii

col. 23 6 αὐλῶν [⏑⏑–⏑⏑––
μείγν[υτ –––⏑––
χρή τιν[–––⏑––

11

ΑΛΕΞΙΔΑΜΩΙ ΜΕΤΑΠΟΝΤΙΝΩΙ
ΠΑΙΔΙ ΠΑΛΑΙΣΤΗΙ ΠΥΘΙΑ

metrum: dactyloepitr. (v. p. XXVII) Α΄–Γ΄

ΣΤΡ – D – E – ‖ ^{3} – D e (18.60) ⏒ e – ‖ ^{5} D | – D e – d^{1} | ^{8} – D |
(9.107) ^{9} – D ⏒ e –‖ ^{10} – D – D |
^{12} – D ⏒ e – ‖ ^{13} – D – E – |||
ΕΠ – D | – D | ⏑ e – | ^{3} D | ^{4} – D E – ‖ ^{6} – D – E ‖ ^{8} –
(120) D ⏒ e | ^{9} – D | – D ‖
^{11} E – e ⏓ | ^{12} D – D E – |||

Α΄ 1 Νίκα γλυκύδωρε· [μόνᾱι γὰρ
σοὶ πατ[ὴρ ––⏑––
3 ὑψίζυ[γος –⏑⏑–
ἐν πολυχρύσωι <τ᾽>Ὀλύμπωι
5 Ζηνὶ παρισταμένα
κρίνεις τέλος ἀθανάτοι-
σίν τε καὶ θνατοῖς ἀρετᾶς·

11 1 et **4—7** affert Ursinus e Stob. Flor. 3, 3, 66 (3, 219 W.-H.) Βακχ. δὲ τὴν Νίκην γλυκύδωρόν φησι καὶ ἐν πολυχρύσῳ Ὀλύμπῳ Ζηνὶ παρισταμένην κρίνειν τέλος ἀθανάτοις τε καὶ θνητοῖς ἀρετῆς (fr. 9 Bergk) ‖ **47** sqq. cf. schol. MV Hom. Od. ο 225 (= Pherekydes FGrHist 3 F 114) ‖ **55** ΜΙΓΝ[, ΜΙΓΙ[sim. ‖ **56** Ν[, vix Η[| ἐπεὶ νῦν] χρή τιν᾽[ὑμνῆσαι e.g. Sn.

11 1 μόνᾱι γὰρ Ed.Fraenkel, κλυτὰν γὰρ Sn. ‖ **2** σοὶ πατὴρ τιμὰν ἔδωκεν Hense, τεθμὸν δέδωκεν Maehler ‖ **3** ὑψ. Οὐρανιδᾶν J., Οὐρανίδας Sn. ‖ **4** <τ᾽> Sn., <δ᾽>Neue

8 ἔλλαθι, [βαθυ]πλοκάμου
κούρα Σ̣[τυγὸς ὀρ]θοδίκου· σέθεν δ᾽ ἕκατι
10 καὶ νῦ[ν Μετ]απόντιον εὐ–
γυίων κ̣[ατέ]χουσι νέων
12 κῶμοί τε καὶ ε̣ὐφροσύναι θε̣ό̣τιμον ἄστυ·
ὑμνεῦσι δὲ Πυθιόνικον
παῖδα θαητ[ὸ]ν Φαΐσκου.

—

1 ἵλε̣ῳ̣ι νιν ὁ Δα̣[λ]ογενὴς υἱ–
ὸς βαθυζώνο̣[ιο] Λατοῦς
3 δέκτ[ο] βλεφά[ρω]ι̣· πολέες
δ᾽ ἀμφ᾽ Ἀλεξ[ίδα]μον ἀνθέ̣ῳ̣ν
5 ἐν πεδίωι στέφανοι
Κίρρας ἔπεσον κρατερᾶς
ἦρα παννίκοι<ο> πάλας·
8 οὐκ ε̣[ἶ]δέ νιν ἀέλιος
κείνωι γε σὺν ἄματι πρὸς γαίᾱι πεσόντα.
10 φάσω δὲ καὶ ἐν ζαθέοις
ἁγνοῦ Πέλοπος δαπέδοις
12 Ἀλφε̣ὸ̣ν πάρα καλλιρόαν, δίκας κέλευθον
εἰ μή τις ἀπέτραπεν ὀρθᾶς,
παγξένωι χαίταν ἐλαίᾱι

—

8 ἔλληθι Wackern. | βαθυπλ. J. || **9** Bl. || **10** extr. ΕΙ: **A**[1] || **11** Κ[, Ι[sim. |]Χ,]Υ,]Κ | Bl. alii || **15** ΙΟ̣ . ΩΔ̣ΙΝ: **A**[1]? || **17** -ω]Ν? (sec. K. fort. οι]ν): **A**[3]? || **21** ΝΙΚΟΙ: K. | ΠΑΛΛΑϹ: **A**[3] || **23** ΤΕ: **A**[1]? | ϹΥΝ – ΠΕϹΟΝΤΑ add. **A**[4] || **24** ΕΠΙ: ΕΝ **A**[2]? || **28** ΞΕΝ: ΞΕΙΝ **A**[1]? | ΕΛΑΙΑϹ: **A**[3]

1 γλαυκᾶι στεφανωσάμενον
πορτιτρόφο̣ν̣ [Ἰταλ]ί̣[αν πάτ]ρ̣α̣ν θ' ἱκέσθαι.
3 [–⏑⏑–⏑⏑–]
col. 24 παῖδ' ἐν χθονὶ καλλιχόρωι
ποικίλαις τέχναις πέλασσεν·
6 ἀ]λ̣λ' ἢ θεὸς αἴτιος, ἢ
γ]νῶμαι πολύπλαγκτοι βροτῶν
ἅ]μερσαν ὑπέρτατον ἐκ χειρῶν γέρας.
9 ν̣ῦν δ' Ἄρτεμις ἀγροτέρα
χρυσαλάκατος λιπαράν
Ἡμ]ε̣ρα τοξόκλυτος νίκαν ἔδωκε.
12 τ]ᾶ̣ι ποτ' Ἀβαντιάδας
β]ωμὸν κατένασσε πολύλ-
λ̣[ι]στον εὔπεπλοί τε κοῦραι·

B´ 1 τὰς ἐξ ἐρατῶν ἐφόβησε<ν>
παγκρατὴς Ἥρα μελάθρων
3 Προίτου, παραπ̣λ̣ῆγι φ̣ρ̣ένας
καρτερᾶι ζεύξασ' ἀνάγκᾱι·
5 παρθενίᾱι γὰρ ἔτι
ψυχᾶι κίον ἐς τέμενος
πορφυροζώνοιο θεᾶς·
8 φάσκον δὲ πολὺ σφέτερον
πλούτωι προφέρειν πατέρα ξανθᾶς παρέδρου
10 σεμνοῦ Διὸς εὐρυβίᾱι.
ταῖσιν δὲ χολωσαμένα
12 στήθεσσι παλίντροπον ἔμβαλεν νόημα·
φεῦγον δ' ὄρος ἐς τανίφυλλον
σμερδαλέ̣α̣ν φωνὰν ἱεῖσαι,

30 ΟΙ[, ΕΝ[sim. |]Ρ,]Β,]Π | Α potius quam Ο vel Ε | Ἰταλίαν χ' ἕδραν J., Ἰταλίαν πάτραν Platt | ϹΘΑΙ· | **31** ἤ τινα γὰρ μοτὶ γᾶι e.g. Maehler || **33** ϹϹΕΝ· || **35** ΠΛΑΓΚΟΙ: K. || **36** ἅμερσαν Palmer || **39** Bl. || **40**]Α vel]Λ || **42** Λ[, Α[sim. || **43** Bl. || **45** ΠΑΡΑΠΛΗΓΙ: παραπλᾶγι Bl. || **52** ΒΙΑΙ: K. || **54** ϹΤΗ-ΘΕϹΙΝ: K. | ΒΑΛΕΝΟΜΜΑ: K.

1 Τιρύνθιον ἄστυ λιποῦσαι
καὶ θεοδμάτους ἀγυιάς.
3 ἤδη γὰρ ἔτος δέκατον
θε̣ο̣φιλὲς λιπόντες Ἄργος
5 ναῖον ἀδεισιβόαι
χαλκάσπιδες ἡμίθεοι
σὺν πολυζήλωι βασιλεῖ.
8 νεῖκος γὰρ ἀμαιμάκετον
βληχρᾶς ἀνέπαλτο κασιγνήτοις ἀπ' ἀρχᾶς
col. 25 10 Προίτωι τε καὶ Ἀκρισίωι·
λαούς τε διχοστασίαις
12 ἤρειπον ἀμετροδίκοις μάχαις τε λυγραῖς,
λίσσοντο δὲ παῖδας Ἄβαντος
γᾶν πολύκριθον λαχόντας

1 Τίρυνθα τὸν ὁπλότερον
κτίζειν, πρὶν ἐς ἀργαλέαν πεσεῖν ἀνάγκαν·
3 Ζεύς τ' ἔθελεν Κρονίδας
τιμῶν Δαναοῦ γενεὰν
καὶ διωξίπποιο Λυγκέ̣ο̣ς
6 παῦσαι στυγερῶν ἀχέων.
τεῖχος δὲ Κύκλωπες κάμον̄
ἐλθόντες ὑπερφίαλοι κλειναῖ π[όλ]ει
9 κάλλιστον, ἵν' ἀντίθεοι
ναῖον κλυτὸν ἱππόβοτον
Ἄργος ἥρωες περικλειτοὶ λιπόντες,
12 ἔνθεν ἀπεσσύμεναι
Προίτου κυανοπλόκαμοι
φεῦγον ἄδματοι θύγατρες.

68 ΗΡΙΠΟΝ: Κ. || **69** ΠΑΙΔΕΣ: **A**[3] || **83** ΠΛΟΚΑΜΟΣ: **A**[1]

Γ΄ 1 τὸν δ᾽ εἷλεν ἄχος κραδίαν, ξεί–
να τέ νιν πλᾶξεν μέριμνα·
3 δοίαξε δὲ φάσγανον ἄμ–
φακες ἐν στέρνοισι πᾶξαι.
5 ἀλλά νιν αἰχμοφόροι
μύθοισί τε μειλιχίοις
καὶ βίᾱι χειρῶν κάτεχον.
8 τρισκαίδε̣κα̣ μὲν τελέους
μῆνας κ̣α̣τὰ δάσκιον ἠλύκταζον ὕλαν
10 φεῦγόν τε κατ᾽ Ἀρκαδίαν
μηλοτρόφον· ἀλλ᾽ ὅτε δή
12 Λοῦσον ποτὶ καλλιρόαν πατὴρ ἵκανεν,
ἔνθεν χρόα νιψάμενος φοι–
νικοκ[ραδέμνο]ιο Λατοῦς

1 κίκλη[ισκε θύγατρ]α̣ βοῶπιν,
col. 26 χεῖρας ἀντείνων πρὸς αὐγάς
3 ἱππώκεος ἀελίου,
τέκνα δυστάνοιο λύσσας
5 πάρφρονος ἐξαγαγεῖν·
"θύσω δέ τοι εἴκοσι βοῦς
ἄζυγας φοινικότ̣ρ̣ιχας."
8 τοῦ δ᾽ ἔκλυ᾽ ἀριστοπάτ̣ρ̣α
θηροσκόπος εὐχομένου· πιθοῦσα δ᾽ Ἥραν
10 παῦσεν καλυκοστεφάνους
κούρας μανιᾶν ἀθέων·
12 ταὶ δ᾽ αὐτίκα οἱ τέμενος βωμόν τε τεῦχον,
χραῖνόν τέ μιν αἵματι μήλων
καὶ χοροὺς ἵσταν γυναικῶν.

—

86 ΜΕΡΙΜΝΑΙ: **A**^{1} ‖ **94** ΚΑΤΑΚΑΡΔΙΑΝ: Palmer ‖ **98** K. ‖ **99**]A vel]Λ, suppl. K. ‖ **106** om. **A**, add. **A**^{3} in margine superiore ‖ **110** ΓΑΙ: Bl. alii | ΤΕΤΕΤΕΥΧΟΝ: **A**^{1}

ἔνθεν καὶ ἀρηϊφίλοις
ἄνδρεσσιν <ἐς> ἱππότροφον πόλιν̄ Ἀχαιοῖς
ἕσπεο· σὺν δὲ τύχᾱι
ναίεις Μεταπόντιον, ὦ
χρυσέα δέσποινα λαῶν·
ἄλσος δέ τοι ἱμερόεν
Κάσαν παρ' εὔυδρον †προγο-
νοι ἐσσάμενοι† Πριάμοι' ἐπεὶ χρόνωι
βουλαῖσι θεῶν μακάρων
πέρσαν πόλιν εὐκτιμέναν
χαλκοθωράκων μετ' Ἀτρειδᾶν. δικαίας
ὅστις ἔχει φρένας, εὑ-
ρήσει σὺν ἅπαντι χρόνωι
μυρίας ἀλκὰς Ἀχαιῶν.

12

ΤΕΙΣΙΑΙ ΑΙΓΙΝΗΤΗΙ ΠΑΛΑΙΣΤΗΙ ΝΕΜΕΑ

metrum: dactyloepitr. (v. p. XXVII) Α′–Γ′

ΣΤΡ – e – D – e – | ^{3}D | – D ⏑ e | ^{5} – D – | ^{6}E – || ^{7} – E – e |||

ΕΠ – D | ^{2} – D – || ^{3} e – D | ^{4} – e – | ^{5} [e] – D – | [$^{6-9}$] |||

114 <ἐς> J. | de πόλιν̄ cf. p. XXIII || **119**sq. Κάσᾱ παρ' εὔυδρ. πόρον : ἔσσαν πρόγονοι Carey, κτίσαν (Turyn) σταθμασάμενοι Maehler || **120** ΕΠΙ: **A**^{3}

Α΄

1 Ὡσεὶ κυβερνήτας σοφός, ὑμνοάνασ-
σ' εὔθυνε Κλειοῖ
3 νῦν φρένας ἁμετέρας,
εἰ δή ποτε καὶ πάρος· ἐς γὰρ ὀλβίαν
5 ξείνοισί με πότνια Νίκα
νᾶσον Αἰγίνας ἀπάρχει
7 ἐλθόντα κοσμῆσαι θεόδματον πόλιν
—
1 τάν τ' ἐν Νεμέᾳ γυιαλκέα μουνοπάλαν

col. 27 (desunt vv. 9—32)

(Β΄)

3]. [ ]πιδ[
ξεινου [. . . .]νιοι αστ[⏓–⏑–
5 ἀμφικ[τιόν]ων ἐν ἀέθλοι[ς·
σὺν τρι[άκο]ντ' ἀγλααῖσιν
7 νίκαις [ἐκ]ωμάσθησαν οἱ μὲν [Πυθόϊ,
—
1 οἱ δ' ἐν Πέλοπος ζαθέας
νάσου π[ι]τυώδεϊ δείρᾳ,
3 οἱ δὲ φοινικοστερόπα τεμένει
Ζηνὸς Νεμεαίου
5 . . . (.)] ταύτας καὶ ἐπ' ἀργυροδίνα

col. 28 (desunt vv. 43—69)

12 33—42 PSI XII 1278B (cf. p.) ‖ **33**]Υ[,]Φ[,]Ρ[,]Τ[sim. | [ναιέται ––]πιδ' [εὐ–]: ξείνου [⏑⏑–]νιοι ἄστ[εος e.g. Sn. ‖ **34** Υ[pot.quam Τ[‖ **35** Norsa ‖ **36** Sn. ‖ **37** Norsa | οἱ μεγασθενεῖς vel οἱ μὲν Πυθόϊ Sn. (Πυθίαις Maas) ‖ **39** πιτ. agnovit Sn. ‖ **40** ΡΌΠ ‖ **41** ΑΙΟΥ· ‖ **42** ταύτας Sn. ‖ **43** ὄχθαισιν Ἀλφειοῦ vel Ἀλφεοῖ' ὄχθαις e.g. Sn. cf. 8, 26sq.

13

[ΠΥΘΕΑΙ ΑΙΓΙΝΗΤΗΙ
ΠΑΓΚΡΑΤΙΑΣΤΗΙ ΝΕΜΕΑ]

metrum: dactyloepitr. (v. p. XXVII) Α′–Ζ′

ΣΤΡ – D ⏓ e – ‖ [3]– – – ⏑ ⏑ – ⏒ | e ⏓ (102; 148.169.202) e – ‖ [5]– D – ‖
[6]E – D ⏓ e – ‖ [9]D – ‖ [10]D ⏒ ‖ D – e ⏓ (123.156) e – |||

ΕΠ – D ⏒ (58) e | – D ⏒ (60?) e – | [4]e – D – E ‖ [6]– D ⏓ (63.162?) | e ⏓
e ⏓ (196) e ‖ [8]D ⏓ (131) e ⏓ (66) e – |||

Α′ (desunt vv. 1—7)

col. 29
– – ⏑ – –]
– ⏑ ⏑ – ⏑ ⏑] Κ̣λ̣ειώ
– ⏑ ⏑ – ⏑ ⏑ –]τ̣ρ̣[ᾱ]ι̣
– ⏑ ⏑ – ⏑ ⏑ –]
– – ⏑ – – – ⏑ –]δαν·
(desunt vv. 13—33)

(Β′) (desunt vv. 34—39)
– – ⏑ ⏑ – ⏑ ⏑] . ις
⏓ – ⏑ – –]
9 – ⏑ ⏑ – ⏑ ⏑ – –]·
– ⏑ ⏑ – ⏑ ⏑ – –]

col. 30
11 ὕβριος ὑψινόου
παύσει δίκας θνατοῖσι κ̣ρ̣αίνων,
οἵαν τινὰ δύσλοφον ὠ-
μηστᾶι λέοντι

13 De inscr. v. p. XLVII

9]K vel]A, tum Λ pot.quam A ‖ **10** Barrett ‖ **40** fr. 30 K.

3 Περσείδας ἐφίησι
χεῖρα παντοίαισι τέχναις·
οὐ γὰρ] δαμασίμβροτος αἴθων
6 χαλ]κὸς ἀπλάτου θέλει
χωρε]ῖν διὰ σώματος, ἐ-
γνά]μφθη δ' ὀπίσσω
9 φάσγα]νον· ἦ ποτέ φαμι
τᾶιδε] περὶ στεφάνοισι
11 παγκ]ρατίου πόνον Ἑλ-
λάνεσσι]ν ἱδρώεντ ἔσεσθαι."

..... παρ]ὰ βωμὸν ἀριστάρχου Διός
Νίκας] φ[ε]ρ[ε]κυδέος ἀν-
θρώπο]ισιν ἄ[ν]θεα
4 χρυσέ]αν δόξαν πολύφαντον ἐν αἰ-
ῶνι] τρέφει παύροις βροτῶν
6 α]ἰεί, καὶ ὅταν θανάτοιο
κυάνεον νέφος καλύψηι, λείπεται
8 ἀθάνατον κλέος εὖ ἐρ-
χθέντος ἀσφαλεῖ σὺν αἴσᾱι.

Γ′ τῶν κα[ὶ σ]ὺ τυχὼν Νεμέᾱι,
Λάμπωνος υἱέ,
3 πανθαλέων στεφάνοισιν
ἀνθ]έ[ων] χαίταν [ἐρ]εφθείς
στείχεις] πόλιν ὑψιάγυιαν

